This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`



THE BEQUEST OF

HENRY WARE WALES, M. D.,

OF BOSTON.

(Class of 1838.)

Received 22 October,

ARISTOPHANIS

COMŒDIÆ.

ARISTOPHANIS

COMŒDIÆ.

EX EDITIONE

R. F. P. BRUNCK.

TEXTUS

NOVISSIMIS BRUNCK EMENDATIONIBUS

LOCUPLETATUS.

TOM. III.

Oxonii:

Typis et Sumtu N. Bliss;

F. C. et J. Rivington, et R. Priestley.

LONDINI.

1815.

KC15649
~~Ga110.125~~

HARVARD
UNIVERSITY
LIBRARY

ΑΡΙΣΤΟΦΑΝΟΥΣ

ΣΦΗΚΕΣ.

ΥΠΟΘΕΣΙΣ.

ΦΙΛΟΚΛΕΩΝ Ἀθηναῖος, φιλοδικαστὴς ὢν τὴν φύσιν, ἐφοίτα εἰς δικαστήρια συνεχῶς. Βδελυχλέων δὲ ὁ τούτου παῖς, ἀχθόμενος ταύτῃ τῇ νόσῳ, καὶ πειρώμενος τὸν πατέρα παῦσαι, ἐγκαθείρξας τοῖς οἴκοις καὶ ἔκτυπα πιμελαλὼν, ἐφύλαττε νύκτωρ καὶ μεθ' ἡμέραν. ὁ δὲ, ἐξόδου αὐτῷ μὴ προκειμένης, ἔκραζεν. οἱ δὲ συνδικασταὶ, σφηξὶν αὐτοὺς ἀφομοιώσαντες, παρεγίνοντο, διὰ τῆς τέχνης ὑποκλέπτειν τὸν συνδικαστήν· ἐξ ὧν καὶ ὁ Χορὸς συνίστηκε, καὶ τὸ δρᾶμα πεποίηται. ἀλλ' οὐδὲν ἦσσον οὐδὲ οὕτως πίρας δὲ τοῦ πανίσχυρου θαυμάζοντος, τίνος ἕνεκα ὁ πατὴρ ἔτους ἕκτου τοῦ πράγματος, ἔφη ὁ πρεσβύτης εἶναι τὸ πρᾶγμα σκυδαῖον καὶ σχιδὸν ἀρχῆς τὸ δικάζειν. ὁ δὲ παῖς ἐπειρᾶτο τὰς ὑποψίας ἐξαίρειν τοῦ πράγματος, πυθιστῶν τὸν γέροντα. ὁ δὲ πρεσβύτης μηδαμῶς πυθητούμενος, οὐ μεθίει τὸ πρᾶγμα· ἀλλ' ἀναγκάζεται ὁ υἱὸς ἐπιτρέπειν αὐτῷ φιλοδικεῖν, καὶ ἐπὶ τῆς οἰκίας αὐτὸς ποιεῖν μένον, καὶ τοὺς κατὰ τὴν οἰκίαν δικάζειν. καὶ

δύο κύνες παρεισάγονται παρ' αὐτῷ πολιτευτικῶς χρι-
νόμενοι· καὶ κατὰ τὰς φεύγοντας ἐφέρειν συνεχῶς τὴν
ψῆφον μέλλων, ἀπατηθείς, ἔκαμε τὴν ἀπολογίαν φέρει ψῆφον. παρείχε δὲ καὶ δικαιολογίαν τινὰ τοῦ
Χοροῦ ἐκ τοῦ ποιητοῦ παρασκευήν, διὰ τὸ σφηκῶν ἐμφε-
ρεῖς εἶναι τοὺς τοῦ Χοροῦ· ἐξ ὧν καὶ τὸ δρᾶμα. οἱ ὅτε
μὲν ἦσαν νέοι, σπουδῇ τῆς δίκης ἐφήδρευον· ἐπεὶ δὲ
γέροντες γεγόνασι, κωμῳδοῦσι τοὺς πάντας. ἐπὶ τέλει
τοῦ δράματος ὁ γέρων ἐπὶ δεῖπνον καλεῖται, καὶ ἐπὶ
αὐλὸν τρέπεται, καὶ κρόκας αὐτὸν ἔξεσαν ἀρτόκοποι· ὁ δὲ
γέρων πρὸς αὐλὸν ᾠδὴν ἀρχαίαν ᾄδεται, καὶ χλευάζεται
τὸ δρᾶμα.

Τοῦτο τὸ δρᾶμα πεποίηται αὐτῷ ὑπ' ἐξ ὑποκειμένης
ὑποθέσεως, ἀλλ' ἀπὸ καιροῦ γενομένης. πέπλασται δὲ τὰ
ὅλα διαβάλλει δὲ Ἀθηναίους ὡς φιλοδίκους ὄντας, καὶ
συκοφαντεῖν τὸν δῆμον ἀπατῶντας δικάζειν, καὶ διὰ τοῦτο
καὶ τοὺς δικαστὰς σφηκῶν εἰκάζει, κέντρα ἔχοντες, καὶ
πλήττοντες . . . . . ἐδ αὐτῷ χαρίεντες. ἐδιδάχθη
ἐπὶ Ἄρχοντος Ἀμεινίου, διὰ Φιλωνίδου, ἐν τῇ πάλαι
Ὀλυμπιάδι τὸν β', εἰς Λήναια. καὶ ἐνίκα πρῶτος Φι-
λωνίδης . . . . . πρόσωπα Γλαυκιᾶς Μαιοφιλίᾳ τιῦς . . . .

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ.

ΦΙΛΟΤΗΤΑ δικάζειν πρεσβύται πρὸς υἱέας ἄφνω
αὐτὰς ἐφύλαττεν ἔνδον οἰκοῦντά γ', ὅπως
μὴ λανθάνῃ, μηδ' ἴδῃ, διὰ τὴν νόσον.
ὁ δ' ἀντιμάχεται παντὶ τρόπῳ καὶ μηχανῇ.
ἴδθ' οἱ συνήθεις καὶ γίροντες, λεγόμενοι
σφῆκες, παραγίνονται βοηθοῦντες σφόδρα,
ἐπὶ τῷ δύνασθαι κίνητρον εἶναι τινὶ
φρονοῦντες ἱκανόν. ὁ δὲ γέρων τηρούμενος,
ξυμπείθετ' ἔνδον διαδικάζειν καὶ βιοῦν,
ἐπὶ τὸ δικάζειν κίνρικεν ἐκ παντὸς τρόπου.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΣΩΣΙΑΣ.
ΞΑΝΘΙΑΣ. } εἰσὶ ται Φιλοκλέωνος.

ΒΔΕΛΥΚΛΕΩΝ.

ΦΙΛΟΚΛΕΩΝ.

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ ΣΦΗΚΩΝ.

ΠΑΙΔΕΣ.

ΚΥΩΝ.

ΑΡΤΟΠΩΛΙΣ.

ΑΝΗΡ ΤΙΣ ΚΑΤΗΓΟΡΟΣ.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ

ΣΦΗΚΕΣ.

ΣΩΣΙΑΣ, ΞΑΝΘΙΑΣ, ΒΔΕΛΥΚΛΕΩΝ,
ΦΙΛΟΚΛΕΩΝ, ΧΟΡΟΣ,
ΠΑΙΔΕΣ.

1—5.

Σωσίας.

Ουτος, τί πάσχεις, ὦ κακόδαιμον Ξανθία;

Ξανθίας.

φυλακὴν κατακλύειν νυκτερινὴν διδάσκομαι.

Σωσίας.

κακὸν ἄρα ταῖς πλευραῖς τι προὔφιλες μίγα.
ἆρ' οἶσθας οἷον κνώδαλον φυλάττομεν;

Ξανθίας.

οὐδ' ἀλλ' ἐπιθυμῶ σμικρὸν ἀπομερμηρίσαι.

Σωσίας.

σὺ δ' οὖν παραχινδύνευ', ἐπεὶ καὐτοῦ γ' ἐμοῦ
κατὰ ταῖν κόραιν ἤδη τι καταχεῖται γλυκύ.

Ξανθίας.

ἀλλ' ἢ παραφρονεῖς, ἐτεόν, ἢ κορβανιᾷς;

Σωσίας.

οὔκ· ἀλλ' ὕπνος μ' ἔχει τις ἐκ Σαβαζίου.

Ξανθίας.

τὸν αὐτὸν ἄρ' ἐμοὶ βουκολεῖς Σαβάζιον.
ἁμοὶ γὰρ ἀρτίως τις ἐπεγρατεύσατο
Μῆδός τις ἐπὶ τὰ βλέφαρα νυσακτὴς ὕπνος·
καὶ δῆτ' ὄναρ θαυμαστὸν εἶδον ἀρτίως.

Σωσίας.

κἄγωγ' ἀληθῶς οἷον οὐδεπώποτε.
ἀτὰρ σὺ λέξον πρότερος.

Ξανθίας.

ἐδόκουν ἀετὸν
καταπτόμενον ἐς τὴν ἀγορὰν μέγαν πάνυ,
ἀναρπάσαντα τοῖς ὄνυξιν ἀσπίδα
φέρειν ἐπίχαλκον ἀνικὰς ἐς τὸν οὐρανόν.
κἄπειτα ταύτην ἀποβαλεῖν Κλεώνυμον.

Σωσίας.

οὐδὲν ἄρα γρίφου διαφέρει Κλεώνυμος.
Πῶς δὴ, πρόσιερεῖ τις τοῖσι συμπόταις λέγων,

ὅτι ταυτὸν ἐν γῇ θηρίον, κἂν οὐρανῷ,
κἂν τῇ θαλάττῃ γ' ἀπίβαλιν τὴν ἀσπίδα;

Ξανθίας.

οἴμοι, τί δῆτά μοι κακὸν γενήσεται,
ἰδόντι τοιοῦτον ἐνύπνιον;

Συσίας.

μὴ φροντίσῃς.
οὐδὲν γὰρ ἔσται δεινὸν, οὐ μὰ τοὺς θεούς.

Ξανθίας.

δεινόν γέ που 's' ἄνθρωπος ἀπίβαλὼν ὅπλα.
ἀτὰρ σὺ τὸ σὸν αὖ λέξον.

Συσίας.

ἀλλ' ἐφὶν φύγω.
περὶ τῆς πόλεως γάρ ἐσι τοῦ σκάφους ὅλου.

Ξανθίας.

λέγε νυν ἀνύσας σι τὴν τρόπιν τοῦ πράγματος.

Συσίας.

ἐδοξέ μοι περὶ πρῶτον ὕπνον ἐν τῇ Πνυκὶ
ἐκκλησιάζειν πρόβατα συγκαθήμενα,
βακτηρίας ἔχοντα καὶ τριβώνια·
κἄπειτα τούτοις τοῖς προβάτοισί μοι δόκει
δημηγορεῖν φάλαινα σανδαλιώτρια,
ἔχουσα φωνὴν ἐμπεπρησμένης ὑός.

Ξανθίας.

αἰβοῖ.

Σωσίας.

τί ἐστι;

Ξανθίας.

παῦε, παῦε, μὴ λέγε·
ὄζει κάκιστον τευτύπιον βύρσης σαπρᾶς.

Σωσίας.

εἶθ' ἡ μιαρὰ φάλαιν', ἔχουσα τρυτάνην,
ἴση βόειον δημόν.

Ξανθίας.

οἴμοι δείλαιος·
τὸν δῆμον ἡμῶν βούλεται διϊσάνιν.

Σωσίας.

ἐδόκει δ' ἐμοὶ Θίωρος αὐτῆς πλησίον
χαμαὶ καθῆσθαι, τὴν κιφαλὴν κόμακος ἔχων.
εἶτ' Ἀλκιβιάδης εἶπε πρός με τραυλίσας·
Ὀλᾷς; Θίωλος τὴν κιφαλὴν κόλακος ἔχει.

Ξανθίας.

ἀρθῶς γε τοῦτ' Ἀλκιβιάδης ἐτραύλισεν.

Σωσίας.

εἶκον ἐκεῖν' ἀλλόκοτον, ὁ Θίωρος κόραξ
γιγνόμενος;

Ξανθίας.

ἥκις'· ἀλλ' ἄρισον.

Σωσίας.

πῶς ;

Ξανθίας.

ὅπως ;

ἄνθρωπος ἦν· εἶτ' ἐγίνετ' ἐξαίφνης κόραξ.
οὔκουν ἐναργὲς τοῦτο συμβαλεῖν, ὅτι
ἀρθεὶς ἀφ' ἡμῶν εἰς κόρακας οἰχήσεται ;

Σωσίας.

εἶτ' οὐκ ἐγὼ, δοὺς δύ' ὀβολοὺς, μισθώσομαι
οὕτως ὑποπρινόμενον σαφῶς ἐντέρατα ;

Ξανθίας.

φέρε νυν κατείπω τοῖς θεαταῖς τὸν λόγον,
ὀλίγα γ' ὑπεικὼν πρέσβιον αὐτοῖσιν ταδί·
μηδεὶς παρ' ἡμῶν προσδοκᾷν λίαν μέγα·
μηδ' αὖ γέλωτα Μεγαρόθεν κεκλεμμένον.
ἡμῖν γὰρ οὐκ ἔστ' οὔτε κάρυ' ἐκ φορμίδος
δούλων παραῤῥιπτοῦντε τοῖς θεωμένοις,
οὔθ' Ἡρακλῆς τὸ δεῖπνον ἐξαπατώμενος,
οὐδ' αὖθις ἀνασιλγαινόμενος Εὐριπίδης·
οὐδ', εἰ Κλέων γ' ἔλαμψε τῆς τύχης χάριν,
αὖθις τὸν αὐτὸν ἄνδρα μυττωτεύσομεν.

ἀλλ' ἔστιν ἡμῖν λογίδιον γνώμην ἔχον,
ὑμῶν μὲν αὐτῶν οὐχὶ δεξιώτερον,
πομφοδίας δὲ φορτικῆς σοφώτερον.
ἔστιν γὰρ ἡμῖν δεσπότης ἐκεινοσὶ,
ἄνω καθεύδων, ὁ μέγας, ὑπὲρ τοῦ τέγους.
οὗτος φυλάττειν τὸν πατέρ' ἐπέταξε νῷν,
ἵνδον καθείρξας, ἵνα θύραζε μὴ 'ξίῃ.
νόσον γὰρ ὁ πατὴρ ἀλλόκοτον αὐτοῦ νοσεῖ,
ἣν οὐδ' ἂν εἷς γνοίη ποτ', οὐδὲ ξυμβάλοι,
εἰ μὴ πύθοιθ' ἡμῶν· ἐπεὶ τερπάζεται.
Ἀμυνίας μὲν ὁ Περνάπου φήσ' αὐτοσὶ
εἶναι φιλόκυβον αὐτόν· ἀλλ' οὐδὲν λέγει.

Σωσίας.

μὰ Δῖ', ἀλλ' ἀφ' αὐτοῦ τὴν νόσον τεκμαίρεται.

Ξανθίας.

οὔπω· ἀλλὰ ΦΙΛΟ μέν ἐστιν ἀρχὴ τοῦ κακοῦ.
δδὶ δέ φησι Σωσίας πρὸς Διρκύλον,
εἶναι φιλοπότην αὐτόν.

Σωσίας.

οὐδαμῶς γ', ἐπεὶ
αὕτη γε χρηστῶν ἐστὶν ἀνδρῶν ἡ νόσος.

Ξανθίας.

Νικόστρατος δ' αὖ φησιν, ὁ Σκαμβωνίδης,

εἶναι φιλοθύτην αὐτὸν, ἢ φιλόξενον.

Σωσίας.

μὰ τὸν κύν', ὦ Νικόστρατ', οὐ φιλόξενος,
ἐπεὶ καταπύγων ἐστὶν ὅ γε Φιλόξενος.

Ξανθίας.

ἄλλως φλυαρεῖτ'· οὐ γὰρ ἐξευρήσετε.
εἰ δὴ 'πιθυμεῖτ' εἰδέναι, σιγᾶτε νῦν.
φράσω γὰρ ἤδη τὴν νόσον τοῦ δεσπότου.
φιληλιαστής ἐστιν, ὡς οὐδεὶς ἀνήρ·
ἱρᾷ τι τούτου, τοῦ δικάζειν, καὶ φίνει,
ἢν μὴ 'κ τοῦ πρώτου καθίζηται ξύλου.
ὕστερον δ' ἱρᾷ τῆς νυκτὸς οὐδὲ πακτάλην·
ἢν δ' οὖν καταμύσῃ κἄν ἔχνη, ὅμως ἐκεῖ
ὁ νοῦς πέτεται τὴν νύκτα περὶ τὴν κλεψύδρᾳν.
ὑπὸ τοῦ δὲ τὴν ψῆφόν γ' ἔχειν εἰώθασι,
τοὺς τριῶν ξυνέχων τῶν δακτύλων ἀνίσκεται,
ὥσπερ λιθαναγὸν ἐπιτιθεὶς νουμηνίᾳ.
καὶ, νὴ Δί', ἤν τίδῃ γέ που γεγραμμένον
τὸν Πυριλάμπους ἐν θύρᾳ Δῆμον κἀκεῖ,
ἰὼν παρέγραψε πλησίον ΚΗΜΟΣ ΚΑΛΟΣ.
τὸν ἀλεκτρυόνα δ', ὃς ἤδειν ἐφ' ἑστήρας, ἔφη,
ὡς ὄψ' ἐγείρειν κἀτὸν ἀναπεπταμένον,
παρὰ τῶν ὑπευθύνων ἔχοντα χρήματα.

εὐθὺς δ' ἀπὸ δορπηστοῦ κίκεραγιν ἰμβάδας·
κἄπιτ' ἐκεῖσ' ἰλθὼν, προκαθεύδει πρὸ πάνυ,
ὥσπιρ λιπὰς προσιχόμινος τῷ κίονι.
ὑπὸ δυσκολίας δ' ἅπασι τιμῶν τὴν μακρὰν,
ὥστιρ μίλιτ' ἢ βομβυλιὸς σισέρχιται,
ὑπὸ τοῖς ὄνυξι κηρὸν ὑποπιπλασμένος.
ψήφων δὲ δίσας μὴ διηθείη ποτὲ,
ἵν' ἔχῃ δικάζιν, αἰγιαλὸν ἔνδον τρίφει.
τοιαῦτ' ἀλύει· νουθιτούμινος δ' ἀεὶ
μᾶλλον δικάζει. τοῦτον οὖν φυλάττομεν,
μοχλοῖσιν ἐγκλείσαντις, ὡς ἂν μὴ 'ξίῃ.
ὁ γὰρ υἱὸς αὐτοῦ τὴν νόσον βαρίως φίρει.
καὶ πρῶτα μὲν λόγοισι παραμυθούμινος,
ἀνίστιθιν αὐτὸν μὴ φορεῖν τριβώνιον,
μηδ' ἐξιέναι θύραζ'· ὁ δ' οὐκ ἐπείθιτο.
εἶτ' αὐτὸν ἀπίλουν, κἀκάθαιρι, καὶ μάλα
μετὰ ταῦτ' ἐκορυβάντιζ'· ὁ δ' αὐτῷ συμπάνυ
ᾄζας, ἐδίκαζιν ἐς τὸ Καινὸν ἐμπτσών.
ὅτι δὴ δὶ ταύταις ταῖς τιλιταῖς οὐκ ὠφέλει,
διέπλευσιν εἰς Αἴγιναν· εἶτα συλλαβὼν
νύκτωρ κατέκλινιν αὐτὸν εἰς 'Ασκληπιοῦ·
ὁ δ' ἀνιφάνη κνιφαῖος ἐπὶ τῇ κιγκλίδι.
ἐντεῦθι, οὐκέτ' αὐτὸν ἐξιφρείομεν.

ὁ δ' ἐξιδίδρασκε διά τι τῶν ὑδρορρόων,
καὶ τῶν ὀπῶν· ἡμεῖς δ' ὅσ' ἦν τετρημένα
ἐπεβύσαμεν ῥακίοισι, κἀπακτώσαμεν.
ὁ δ', ὥσπερεὶ κελοιὸς, αὐτῷ παττάλους
ἐνίκρουεν εἰς τὸν τοῖχον· εἶτ' ἐξήλλετο.
ἡμεῖς δὲ τὴν αὐλὴν ἅπασαν δικτύοις
κατεπιστάσαντες ἐν κύκλῳ, φυλάττομεν.
ἔστιν δ' ὄνομα, τῷ μὲν γέροντι, Φιλοκλέων,
καὶ μὰ Δία· τῷ δ' υἱεῖ γε τῷδε, Βδελυκλέων;
ἔχων τρόπους φρυαγμοσιμανάκους τινάς.

Βδελυκλέων.

ὦ Ξανθία, καὶ Σωσία, καθεύδετε;

Ξανθίας.

εἶμαι.

Σωσίας.

τί ἐστι;

Ξανθίας.

Βδελυκλέων ἀνίσταται.

Βδελυκλέων.

οὐ περιδραμεῖσαι σφῶν ταχέως δεῦρ' ἄτερφ;
ὁ γὰρ πατὴρ εἰς τὸν ἵππον εἰσελήλυθε,
καὶ μυστολιῖ τι καταδιδυκώς. ἀλλ' ἄθρει,
κατὰ τῆς πυέλου τὸ τρῆμ' ὅπως μὴ 'κδύσεται·
σὺ δὲ τῇ θύρᾳ πρόσκεισο.

Σωσίας.

ταῦτ', ὦ δίστοτα.

Βδελυκλέων.

ἄναξ Πόσειδον, τί ποτ' ἄρ' ἡ κάμπη ψοφεῖ;
οὗτος, τίς εἶ σύ;

Φιλοκλέων.

κακὸς ἔγωγ' ἐξέρχομαι.

Βδελυκλέων.

κακός; φέρ' ἴδω τίνος ξύλου σύ.

Φιλοκλέων.

συκίνου.

Βδελυκλέων.

νὴ τὸν Δί', ὅστις γ' ἐστὶ δριμύτατος κακῶν.
ἀτὰρ οὐκ ἰσιβρήσεις γε; ποῦ 'σθ' ἡ τηλία;
δεῦρο πάλιν. φέρ', ἐπανθῶ σοι καὶ ξύλον.
ἐνταῦθα νῦν ζήτει τιν' ἄλλην μηχανήν.
ἀτὰρ ἄθλιός γ' εἰμί, ὡς ἕτερος οὐδεὶς ἀνήρ,
ὅστις πατρὸς νυνὶ Καμψίνου κεκλήσομαι.

Σωσίας.

παῖ, τὴν κύρβιν ἄθει· πίεζε νῦν σφόδρα
εὐ καὶ δριμέως. καὶγὼ γὰρ ἐνταῦθ' ἔρχομαι
καὶ τῆς κατακλοΐδος ἐπιμελοῦ καὶ τοῦ μοχλοῦ·
φύλαττέ θ' ὅπως μὴ τὴν βάλανον ἐκτρυβήσεται.

Φιλοκλέων.

τί δράσετ' ; οὐκ ἐκφρήσετ', ὦ μιαρώτατοι,
διπάσοντά μ' ; ἀλλ' ἐκφεύξεται Δρακοντίδης.

Βδελυκλέων.

σὺ δὲ τοῦτο βαρέως ἂν φέροις ;

Φιλοκλέων.

ὁ γὰρ Θεὸς
μαντευομένῳ μοι 'χρησεν ἐν Δελφοῖς ποτὲ,
ὅταν τις ἐκφύγῃ μ', ἀποσκλῆναι τότε.

Βδελυκλέων.

Ἄπολλον Ἀποτρόπαιε, τοῦ μαντεύματος.

Φιλοκλέων.

Ἰθ', ἀντιβολῶ σ', ἔκφερέ μι, μὴ διαῤῥαγῶ.

Βδελυκλέων.

μὰ τὸν Ποσειδῶ, Φιλοκλέων, οὐδέποτέ γε.

Φιλοκλέων.

διατρώξομαι τοίνυν ἀδὰξ τὸ δίκτυον.

Βδελυκλέων.

ἀλλ' οὐκ ἔχεις ὀδόντας.

Φιλοκλέων.

οἴμοι δείλαιος·
πῶς ἂν σ' ἀποκτείναιμι ; πῶς ; δότε μοι ξίφος
ὅπως τάχιστ', ἢ φοινίκιον τιμητικόν.

Βδελυκλέων.

ἄνθρωπος οὗτος μέγα τι δρασείει κακόν.

Φιλοκλέων.

μὰ τὸν Δί' οὐ δῆτ'· ἀλλ' ἀποδόσθαι βούλομαι
τὸν ὄνον ἄγων αὐτοῖσι τοῖς καινηλίοις.
γουμηνία γάρ ἐστιν.

Βδελυκλέων.

οὐκοῦν κἀγὼ ἂν
αὐτὸν ἀποδοίμην δῆτ' ἄν.

Φιλοκλέων.

οὐχ ὥστις γ' ἐγώ.

Βδελυκλέων.

μὰ Δί' ἀλλ' ἄμεινον. ἀλλὰ τὸν ὄνον ἔξαγε.

Ξανθίας.

οἵαν προφάσιν καθῆκεν, ὡς εἰρωνικῶς,
ἵνα θᾶττον ἐκπίμψειας.

Βδελυκλέων.

ἀλλ' οὐκ ἔσπασε
ταύτῃ γ'· ἐγὼ γὰρ ᾐσθόμην τιχνωμένου.
ἀλλ' εἰσιών μοι τὸν ὄνον ἐξάγειν δοκῶ,
ὅπως ἂν ὁ γέρων μηδὲ παρακύψῃ πάλιν.
κάνθων, τί κλάεις; ὅτι πιπράσει τήμερον;
βάδιζε θᾶττον. τί στένεις; εἰ μὴ φέρεις
Ὀδυσσέα τινά γ';

Ξανθίας.

ἀλλὰ, ναὶ μὰ Δία, φίλει
κάτω γε τουτονί τιν' ὑποδιδυκότα.

Βδιλυκλέων.

ποῖον; φίλ' ἵνα μαι.

Ξανθίας.

τουτονί.

Βδιλυκλέων.

τουτὶ τί ἦν;
τίς εἶ ποτ', ὦ 'νθρωπ', ἰτιόν;

Φιλοκλέων.

Οὔτις, νὴ Δία.

Βδιλυκλέων.

Οὔτις σύ; ποδαπός;

Φιλοκλέων.

Ἰθακὸς ἀπὸ Δρασιπτίδου.

Βδιλυκλέων.

Οὔτις, μὰ τὸν Δῖ', οὔ τι χαιρήσων γ' ἴσως.
ὑφίλκυ θᾶττον αὐτόν. ὦ μιαρώτατος,
ἵν' ὑποδίδυκιν· ὥς' ἔμοιγ' ἐνδέλλεται
ἐμοιόστατος πλησπῆρος εἶναι πωλίῳ.

Φιλοκλέων.

εἰ μή μ' ἐάσεθ' ἥσυχον, μαχούμεθα.

Βδελυκλέων.

περὶ τοῦ μάχει νᾶν δῆτα ;

Φιλοκλέων.

περὶ ὄνου σκιᾶς.

Βδελυκλέων.

πονηρὸς εἶ πόρρω τίχνης, καὶ παράβολος.

Φιλοκλέων.

ἐγὼ πονηρός ; οὐ μὰ Δί', ἀλλ' οὐκ οἶσθα σὺ
νῦν μ' ὄντ' ἄριστον· ἀλλ' ἴσως, ὅταν φάγῃς
ὑπογάστριον γίροντος Ἡλιαστικοῦ.

Βδελυκλέων.

ὕθι τὸν ὄνον καὶ σαυτὸν ἐς τὴν οἰκίαν.

Φιλοκλέων.

ὦ ξυνδικασταί, καὶ Κλέων, ἀμύνατε.

Βδελυκλέων.

ἔνδον κίκραχθι, τῆς θύρας κεκλεισμένης.
ὕθει σὺ πολλοὺς τῶν λίθων πρὸς τὴν θύραν,
καὶ τὴν βάλανον ἔμβαλλε πάλιν εἰς τὸν μοχλὸν,
καὶ τῇ δεκῇ πρόσθες τὸν ὄλμον τὸν μέγαν.
ἀνύσας τι προσκύλισόν γ'.

Σωσίας.

οἴμοι δείλαιος·
πόθεν μοι ἐμπέπτωκέ μοι τὸ βώλιον ;

Ξανθίας.

ἴσως ἄνωθεν μῦς ἐνέβαλέ σοι πυθέν.

Σωσίας.

μῶς ; οὐ μὰ Δῖ', ἀλλ' ὑποδυόμενός τις οὑστοσὶ
ὑπὸ τῶν κεραμίδων Ἡλιαστὴς ὀροφίας.

Ξανθίας.

οἴμοι κακοδαίμων, σρουθὸς ὢν πὴρ γίγνεται·
ἐκπτήσεται. πού, πού 'σι μοι τὸ δίκτυον ;
σύ, σύ, πάλιν σύ.

Βδελυκλέων.

νὴ Δῖ, ἦ μοι κρεῖττον ἦν
τηρεῖν Σκιώνην, ἀντὶ τούτου τοῦ πατρός.

Σωσίας,

ἄγε νῦν, ἐπειδὴ τουτονὶ σεσοβήκαμεν,
κοὐκ ἔσθ' ὅπως διαδὺς ἂν ἡμᾶς ἔτι λάθοι,
τί οὐκ ἐπεκοιμήθημεν ὅσον ὅσον χίλην ;

Βδελυκλέων.

ἀλλ', ὦ πάππᾰ, ἥξουσιν ὀλίγον ὕστερον
οἱ ξυνδικασταὶ παρακαλοῦντες τουτονὶ
τὸν πατέρα.

Σωσίας.

τί λέγεις ; ἀλλὰ νῦν ὄρθρος βαθύς.

Βδελυκλέων.

νὴ τὸν Δῖ· ὀψὲ γοῦν ἀνεστήκασι νῦν.
ὡς ἀπὸ μέσων νυκτῶν παρακαλοῦσίν γ' ἀεί,
λύχνους ἔχοντες, καὶ μινυρίζοντες μέλη

ἀρχαιομιλητιδωνοφρυνιχήρατα,
οἷς ἱππαλεῦνται τοῦτον.

Σωσίας.

εὐκοῦν, ἢν δίῃ,
ἤδη ποτ' αὐτοὺς τοῖς λίθοις βαλλήσομεν.

Βδελυκλέων.

ἀλλ', ὦ πόνηρε, τὸ γένος, ἢν τις ὀργίσῃ,
τὸ τῶν γερόντων, ἔσθ' ὅμοιον σφηκιᾷ.
ἔχουσι γὰρ καὶ κέντρον ἐκ τῆς ὀσφύος
ἐξύστατον, ᾧ κεντοῦσι, καὶ πικραγόντες
πηδῶσι, καὶ βάλλουσιν, ὥστε φίψαλοι.

Σωσίας.

μὴ φροντίσῃς· ἐάντε ἐγὼ λίθους ἔχω,
πολλῶν δικαστῶν σφηκιὰν διασκεδῶ.

Χορός.

χώρει, πρόβαινε· ἐμφανέστερος. ὦ Κωμία, βραδύνεις;
μὰ τὸν Δί', οὐ μέντοι πρὸ τοῦ γ'· ἀλλ' ἕσθ' ἡμᾶς κύ-
νυνος·
νυνὶ δὲ κρείττων ἐσί σου Καρκινέδης βαδίζειν.
ὦ Στρυμόδωρε Κονδυλιῦ, βίλτιστε συνδικαστῶν,
Εὐριγίδης ἆρ' ἐσί που 'νθαῦθ', ἢ Χάρης ὁ Φλυεύς;
πέρισθ', ὃ λοιπόν ἐστιν, ἀπαπαπαῖ, παπαῖ, παπαιάξ,
ἦλθες ἐκείνης, ἡνίκ' ἐν Βυζαντίῳ ξυνῆμεν
φρουροῦντ' ἐγώ τε καὶ σύ· κἆτα πειρατοῦντι νύκτωρ
τῆς ἀρτοπώλιδος λαθόντ' ἐκλίψαμεν τὸν ὅλμον·

κἄθ' ἥψαμεν τοῦ κορκόρου, κατασχίσαντες αὐτόν.
ἀλλ' ἰγκονῶμεν, ἄνδρες, ὡς ἔσαι Λάχητι νυνί·
σίμβλον δέ φασι χρημάτων ἔχειν ἅπαντες αὐτόν.
χθὶς οὖν Κλέων ὁ κηδιμὼν ἡμῖν ἐφοῖτ' ἐν ὄρᾳ
ἥκειν, ἔχοντας ἡμερῶν ὀργὴν τριῶν ποτηρὰν
ἐπ' αὐτόν, ὡς κολουμένους, ὃν ἠδίκησεν. ἀλλὰ γὰρ
στιβάδωμεν, ὦ 'νδρες ἥλικες, πρὶν ἡμέραν γενέσθαι.
χωρῶμεν, ἅμα τι τῷ λύχνῳ πάντη διασκοπῶμεν,
μή που λαθὼν ἡμᾶς τις ὑμεσδὼν κακόν τι δράσῃ.

Παῖδες.

τὸν πηλόν, ὦ πάτερ, πάτερ, τουτονὶ φύλαξαι.

Χορός.

κάρφος χαμάθεν σύ νυν λαβὼν, τὸν λύχνον πρόσβυσον.

Παῖδες.

ἰοὺ· ἀλλά τῳδί μοι δοκῶ τὸν λύχνον προσβύσειν.

Χορός.

τί δὴ παθὼν τῷ δακτύλῳ τὴν θρυαλλίδ' ὠθεῖς;
ἰὼ τρυφερὰ τοὐλαίου σπανίζοντος, ὦ 'νόητε.
οὐ γὰρ δάκνει σ', ὅταν δέῃ τίμιον πρίασθαι.

Παῖδες.

οἰ νὴ Δί' αὖθις κονδύλοις νουθετήσειθ' ἡμᾶς,
ἀποσβέσαντες τοὺς λύχνους, ἅπερ οἶσθ' αὐτοί·
κἄστιν' ἴσως ἐν τῷ σκότῳ τουτουὶ τιρηθίς,
τις πηλὸν, ὥσπερ ἀσταγᾶς, τυρβάσεις βαδίζων.

Χορός.

ἦ μὴν ἐγώ σου χ' ἑτέρους μείζονας παλάζω.
ἀλλ' οὗτοί μοι βάρβαρος φαίνεται πατεῖν·
κοὐκ ἴσθ' ὅπως οὐχ ἡμερῶν τεττάρων τὸ πλεῖστον
ὕδωρ ἀναγκαίως ἴσχει τὸν θεὸν πιεῖσαι.
ἔπεμσι γοῦν τοῖσιν λύχνοις οὗτοι μύκητες·
φιλεῖ δ', ὅταν ᾖ τοῦτο πιεῖν ὑετὸν μέλισσα.
δεῖται δὲ καὶ τῶν καρτίμων ἅττα μή 'στι πρᾶγμα,
ὕδωρ γενέσθαι, κἀπιτυνῦσαι βόρειον αὐτοῖς.
τί χρῆμ' ἄρ' οὐκ τῆς οἰκίας τῆσδε συνδικαστὴς
πίστευθεν, ὡς οὐ φαίνεται δεῦρο πρὸς τὸ πλῆθος;
οὐ μὴν πρὸ τοῦ γ' ἰφελκὲς ἦν· ἀλλὰ πρῶτος ἡμῶν
ἡγεῖτ' ἂν ᾄδων Φρυνίχου· καὶ γάρ ἐστιν ἀνὴρ
φιλῳδός. ἀλλά μοι δοκεῖ τάντας ἐνθάδ', ὦ 'νδρες,
ᾄδοντας αὐτὸν ἐκκαλεῖν· ἢν τι πως ἀκούσας
τοῦ 'μοῦ μέλους, ὑφ' ἡδονῆς ἐρεύσῃ θύραζε.

τί ποτ' οὐ πρὸ θυρῶν φαίνετ' ἄρ' ἡμῖν
ὁ γέρων, οὐδ' ὑπακούει; μῶν ἀπολάλεκε τὰς ἐμ-
βάδας, ἢ προσίκοψε τῷ σκότῳ τὸν δάκτυλόν που
εἶτ' ἰφλίγμηνεν αὐτοῦ τὸ σφυρὸν γέροντος ὄντος;
καὶ τάχ' ἂν βυβωνιᾷ γ'· ἢ μὴν πολὺ δριμύταλός γ'
ἦν τῶν παρ' ἡμῖν, καὶ μόνος οὐκ ἂν ἐστείθετ'·
ἀλλ' ὁπότ' ἀντιβολοίη τις, κάτω κύπτων ἂν οὕτω
Λίθον ἴψειε, ἴλιγγιν, τάχα δ' ἄν

διὰ τὸν χθιζινόν γ' ἄνθρωπον, ὃς ἡμᾶς διεδύετ'
ἐξαπατῶν, καὶ λέγων, ὡς φιλαθήναιος ἦν, καὶ
τὰν Σάμψ πρῶτος κατείπαι, διὰ ταῦτ' ἐδυνήθη
εἶτ' ἴσως κεῖται πυρίττων.
ἔστι γὰρ τοιοῦτος ἀνήρ.
ἀλλ', ὦ 'γάθ', ἀνίστασο, μηδ' οὕτως
ἴσθι σαυτὸν, μηδ' ἀγανάκτει.
καὶ γὰρ ἀνὴρ παχὺς ἥκει τῶν προδόντων
τὰπὶ Θερμοπύλαις· ὃν ὅπως αἰσχυνεῖς, ἐγχυτρεῖς.
ὕπαγ', ὦ παῖ, ὕπαγε.

Παῖδες.

ἐθελήσεις τι μοι οὖν, ὦ
πάτερ, ἢν σου τι δεηθῶ;

Χορός.

πάνυ γ', ὦ παιδίον· ἀλλ' εἰ-
πὲ τί βούλει με πρίασθαι
καλόν· εἶμαι δέ σ' ἐρεῖν ἀ-
γαγάλευς δήπουθεν, ὦ παῖ.

Παῖδες.

μὰ Δί', ἀλλ' ἰσχάδας, ὦ πατρία· ἥδιον γάρ.

Χορός.

οὐκ ἄν, μὰ τὸν Δῖ, εἰ κρίμασθέ γ' ὑμεῖς.

Παῖδες.

μὰ Δῖ' οὐκ ἄρα πρεσβύμψω σὲ τολοιπόν.

Χορός.

ἀπὸ γὰρ τοῦδ' ἐμὲ τοῦ μισθαρίου
τρίτον αὐτὸν ἔχειν ἄλφιτα δεῖ, καὶ
ξύλα, κἄψον· σὺ δὲ νῦν σῦκ' αἰτεῖς;

Παῖδις.

ἄγε νῦν, ὦ πάτερ, ἢν μὴ
τὸ δικαστήριον ὦ 'χων
παθέσῃ νῦν, πόθεν ἀντι-
σόμεθ' ἄριστον; ἔχεις ἱλ-
πίδα χρηστήν τινα νᾷν, ἢ
ΠΟΡΟΝ ΕΛΛΑΣ ΙΕΡΟΝ;

Χορός.

ἁπαπαὶ, φεῦ.
μὰ Δί' οὐκ ἔγωγε νᾷν
οἶδ' ὁπόθεν δεῖπνον ἥσει.

Παῖδις.

τί με δῆτ', ὦ μιαλία μῆτερ, ἔτικτες,
ἵν' ἐμοὶ πράγματα βόσκειν παρέχῃς.

Χορός.

ἀνήνητόν σ' ἄρ', ὦ θυλάκιόν γ',
εἶχον ἄγαλμα.

Παῖδις.

ἔ, ἔ· πάρα νᾷν στενάζειν.

ΦΙΛΟΚΛΕΩΝ, ΧΟΡΟΣ, ΒΔΕΛΥΚΛΕΩΝ, ΣΩΣΙΑΣ, ΞΑΝΘΙΑΣ, ΚΥΩΝ.

Φιλακλίων.

ΦΙΛΟΙ, πάλαι μὲν τήκομαι, διὰ τῆς ὀπῆς
ὑμῶν ὑπακούων· ἀλλὰ γὰρ οὐχ οἷός τ' εἰμὶ
ᾄδειν. τί ποιήσω; τηρεῦμ' ὑπὸ τῶνδ', ἐπεὶ
βούλομαί γε πάλαι πάνυ μεθ' ὑμῶν
ἐλθὼν ἐπὶ τοὺς καδίσκους
κακόν τι ποιῆσαι.
ἀλλ', ὦ Ζεῦ, μίγα βρόντα, κἀμὲ ποίησον
κατανὸν ἐξαίφνης,
ἢ Προξενιάδην, ἢ τὸν Σίλ-
λου, τοῦτον τὸν ψευδαμάμαξυν.
τόλμησον, ἄναξ, χαρίσασθαί μοι,
πάθος εἰκτείρας· ἢ μι κεραυνῷ
δεκτινθαλίῳ στόδισον ταχέως·
κἄπειτ' ἀνελών μ' ἀποφυσήσας
εἰς ὀξάλμην ἔμβαλε θερμήν·
ἢ δῆτα λίθον μι ποίησον, ἐφ' οὗ
τὰς χοιρίνας ἀριθμοῦσιν.

Χορός.

τίς γὰρ ἔσθ' ὁ ταῦτά σ' εἴρων, κἀποκλείων τὰς θύρας;
λέξον· πρὸς οὕνους γὰρ φρένας.

Φιλοκλέων.

δύμοὶ υἱός. ἀλλὰ μὴ βοᾶτε· καὶ γὰρ τυγχάνει
οὗτοσὶ πρόσθιν καθιζόων. ἀλλ' ὕφεσθε τοῦ τόνου.

Χορός.

τοῦ δ' ἰφίξιν, ὦ μάταις, ταῦτα δρῶν, σε βούλεται;
τίνα πρόφασιν ἔχων;

Φιλοκλέων.

οὐκ ἔφ μ', ὦ "νδρες, δικάζειν, οὐδὲ δρᾷν οὐδὲν κακόν·
ἀλλά μ' εὐωχεῖν ἕτοιμός ἐς'· ἐγὼ δ' οὐ βούλομαι.

Χορός.

τοῦτ' ἐτόλμησ' ὁ μιαρὸς χανεῖν, ὁ Δημολεογοκλέων,
ὅτι λέγεις περὶ τῶν νεῶν τἀληθές;

Φιλοκλέων.

οὐ γὰρ ἂν ποθ' οὗτος ἀνὴρ τοῦτ' ἐτόλμησεν λέγειν,
εἰ μὴ ξυνωμότης τις ἦν.

Χορός.

ἀλλ' ἐκ τούτων ἆρα τινά σοι ζητεῖν καινὴν ἐπίνοιαν,
ἥτις σε λάθρα τἀνδρὸς τουδὶ κατακῆναι διῦρο πείσει.

Φιλοκλέων.

τίς ἂν οὖν εἴη; ζητεῖθ' ὑμεῖς· ὡς πᾶν ἂν ἔγωγε ποιοί-
μην·
ὅτῳ κιττῷ διὰ τῶν σανίδων μετὰ χειρίνης περιελθεῖν.

Χορός.

ἔστιν ὀπὴ δῆθ', ἥντιν' ἂν ἔνδοθεν εἷς τ' εἴης διορύξαι,

εἶτ' ἐνδῦναι ῥάκεσιν κρυφθεὶς, ὥσπερ πολύμητις Ὀδυσσεύς;

Φιλοκλέων.

πάντα πέφρακται, κἀκ ἔξιν ἐπὶς ὐδ' εἰ σέρφῳ διαδῦναι.
ἀλλ' ἄλλο τι δεῖ ζητεῖν ὑμᾶς· ὁτίαν δ' ἔκ ἔφι γενέσθαι.

Χορός.

μίμησαι δῆθ', ὅτ' ἐπὶ στρατιᾶς κλίψας ποτὶ τοὺς ὁβελίσκους,
εἶτις σαυτὸν κατὰ τῦ τείχες, ὅτι δή γ' ἡ Νάξος ἑάλω;

Φιλοκλέων.

οἶδ· ἀλλὰ τί τῦτ'; οὐδὲν γὰρ τοῦτ' ἐστὶν ἐκείνῳ προσόμοιον.
ἤδων γὰρ, κἀδυνάμην κλίπτειν, ἰσχνόν τ' αὐτὸς ἐμαυτῷ·
κοὐδείς μ' ἐφύλαττ', ἀλλ' ἐξῆν μοι
φεύγειν ἀδεῶς. νῦν δὲ ξὺν ὅπλοις
ἄνδρες ὁπλῖται διατεταγμένοι,
κατὰ τὰς ὁδοὺς σκοπιωροῦνται.
τὼ δὲ δύ' αὐτῶν ἐπὶ ταῖσι θύραις
ὥσπερ μι γαλῆν κρία κλίψασαν
τηροῦσιν, ἔχοντ' ὁβελίσκους.

Χορός.

ἀλλὰ καὶ νῦν ἐπτόρις μηχανὴν ὅπως τάχιστ'·
ἴως γὰρ, ὦ μελίττιον.

Φιλοκλέων.

διατραγεῖν τοίνυν κράτιστον ἐστί μοι τὸ δίκτυον.
ἡ δ' ἐμοὶ Δίκτυννα συγγνώμην ἔχει τοῦ δικτύου.

Χορός.

ταῦτα μὲν πρὸς ἀνδρὸς ἔς' ἄνοντος εἰς σωτηρίαν.
ἀλλ' ἴπαγε δὴ σὴν σὴν γνάθον.

Φιλοκλέων.

διατέτρωκταί τοῦτό γ'. ἀλλὰ μὴ βοᾶτε μηδαμῶς·
ἀλλὰ τηρώμεσθ', ὅπως μὴ Βδιλυκλέων αἰσθήσεται.

Χορός.

μηδέν, ὦ 'τὰν, δίδιθι, μηδέν· ὡς ἐγὼ τοῦτόν γ', ἢν
γρύζῃ τι, ποιήσω δακεῖν
τὴν καρδίαν,
καὶ τὸν περὶ ψυχῆς δρόμον
δραμεῖν· ἵν' εἰδῇ μὴ πατεῖν
τὰ ταῖν θεαῖν ψηφίσματα.
ἀλλ' ἐξάψας διὰ τῆς θυρίδος τὸ καλώδιον, εἶτα καλέσας δήσας σαυτὸν, ᾧ τὴν ψυχὴν ἐμπλησάμενος Διοπείθης.

Φιλοκλέων.

ἄγε νῦν, ἢν αἰσθωμέναι τοῦτ' ζητῆτόν μ' ἐκκαλαμᾶσθαι, κἀνάσπασον ποιεῖν εἴσω, τί ποιήσετε; φράζετε νυνί.

Χορός.

ἀμυνοῦμέν σοι, τὸν περινώδη θυμὸν ἅπαντες καλέσαντες, ὅστ' ὀδυνᾶν σ' εἴρξειν ἔχει· τὰ τοιαῦτα ποιήσομεν ἡμεῖς.

Φιλοκτήτου.

δρώσω τοίνυν, ὑμῖν πίστιν· καὶ μανθάνετ'· ἢν τι πάθω 'γὼ,
ἀπολοῦσίς καὶ καταπαλαύσαντές θ' ἑαίναί μ' ὑπὸ τοῖσι δρυφάκτοις.

Χορός.

ἰὼ τέκνον· μηδὲν δείσῃς. ἀλλ', ὦ βέλτιστε, καθίσας
σαυτὸν θαρρῶν, κἀπευξάμενος τοῖσι πατρῴοισι θεοῖσιν.

Φιλοκτήτου.

ὦ Λύκε δέσποτα, γείτων ἥρως· σὺ γὰρ, οἵπερ ἐγὼ,
ἐπήκουσας,
τὰς δακρύσεσιν τῶν φευγόντων αἰεὶ ἐν τοῖς ἀλοφυρμοῖς·
ἵκεσαι γοῦν ἐπίστηθες ἰὼν ἐνταῦθ', ἵνα σεῦτ' ἀκροῶμαι,
κἀξελήθης μόνος ἡρώων παρὰ τὸν κλάοντα καθῆσθαι.
ἐλέησον καὶ σῶσον νυνὶ τὸν σαυτοῦ πλησιόχωρον·
καὶ μήποτέ σου παρὰ τὰς κάννας εὑρήσω, μηδ' ἀπαρδῶ.

Βδελυκλέων.

οὗτος, ἔγειρου.

Σωσίας.

τί τὸ πρᾶγμ';

Βδελυκλέων.

ὅστις φωνή μ' ἐγκεκύκλωται.

Σωσίας.

μὴ ὁ γέρων ὅδε πῆ διαδύεται;

Βδελυκλέων.

μὰ Δί' οὐ δῆτ', ἀλλὰ καθημᾶς αὐτὸν δήσας.

Σωσίας.

ὦ μιαρώτατε, τί ποιεῖς; οὐ μὴ καταδήσει.

Βδελυκλέων.

ἀπάξειν' ἀνύσας κατὰ τὴν ἑτέραν, καὶ πεῖσιν φυλλάσι ποιῆ,

ἢν πως πρύμναν ἀναπρούσηται, πλαγιὰς ταῖς εἰρεσιώναις.

Φιλοκλέων.

οὐ ξυλλήψισθ', ὁπόσοισι δίκαι τῆτις μέλλουσιν ἔσεσθαι,

ὦ Σμικυθίων, ὦ Τισιάδη, καὶ Χρήμων, ὦ Φιρίδιστε;

πότε δ', εἰ μὴ νῦν, ἐπαρήξετέ μοι, πρίν μ' ἴδω μᾶλλον ἄγεσθαι;

Χορός.

εἰπέ μοι, τί μέλλομεν κινεῖν ἐπείνην τὴν χολήν,

ἥντιν', ἡνίκ' ἄν τις ἡμῶν ὀργίσῃ τὴν σφηκιάν;

νῦν ἐκείνῃ, νῦν ἐκείνῃ τοὐξύθυμον,

ᾧ κολαζόμεσθα, πέντρον

ἐντείνατ' ὀξύ.

ἀλλὰ θαιμάτια βαλόντες, ὡς τάχιστα, παιδία,

θεῖτε, καὶ βοᾶτε, καὶ Κλέωνι ταῦτ' ἀγγέλλετε,

καὶ κιλεύετ' αὐτὸν ἥκειν,

ὡς ἐπ' ἄνδρα μισόπολιν
ὄντα, κἀπολούμενον,
ὅτι λόγον τόνδ' εἰσφέρει,
ὡς δίκας χρὴ μὴ διπάζειν.

Βδελυκλέων.

ὦ 'γαθοί, τὸ πρᾶγμ' ἀκούσατ'· ἀλλὰ μὴ κικράγιτε.

Χορός.

νὴ Δί', εἰς τὸν οὐρανόν γ'· ὡς τόνδ' ἐγὼ οὐ μισθήσομαι.

Βδελυκλέων.

ταῦτα δῆτ' οὐ δεινὰ, καὶ τυραννίς ἐστιν ἐμφανής;

Χορός.

ὦ πόλις, καὶ Θεώρου θεοσιχθρία,
εἴ τις ἄλλος πρόσθεν ἡμῶν κόλαξ.

Ξανθίας.

Ἡράκλεις, καὶ κέντρ' ἔχουσιν. οὐχ ὁρᾷς, ὦ δέσποτα;

Βδελυκλέων.

εἰς γ' ἀπώλεσαν Φίλιππον ἐν δίκῃ τὸν Γοργίου;

Χορός.

καὶ σέ γ' αὖθις ἐξολοῦμεν· ἀλλ' ἅπας ἐπίσχεθι
δεῦρο, κἀξείρας τὸ κέντρον, εἶτ' ἐπ' αὐτὸν ἴσο,
ξυστελεῖς, σύσπαστος, ὀργῆς καὶ μένους ἐμπλήμενος,
ὡς ἂν εὖ εἰδῇ τὸ λοιπὸν, σμῆνος οἷον ἄρχεις.

Ξανθίας.

τοῦτο μέντοι δεινὸν ἤδη, νὴ Δί', εἰ μαχούμεθα·

ὡς ἴγωγ' αὐτῶν ὀρῶν δέδοικα τὰς ἐγκεντρίδας.

Χορός.

ἀλλ' ἀφίει τὸν ἄνδρ'· εἰ δὲ μή, φήμ' ἐγὼ
τὰς χιλώνας μαπαριεῖν σε τοῦ δέρματος.

Φιλοκλέων.

εἶα νῦν, ὦ ξυνδικασταί, σφῆκες ὀξυκάρδιοι,
οἱ μὲν εἰς τὸν πρωκτὸν αὐτῶν εἰσπέτεσθ' ὠργισμένοι·
οἱ δὲ τὼ 'φθαλμῶν κύκλω πετεῖσθε καὶ τὼς δακτύλους.

Βδελυκλέων.

ὦ Μίδα, καὶ Φρὺξ, βομβρμεῖτε, καὶ Μασυντία·
καὶ λάβεσθε τουτουί, καὶ μὴ μεθῆσθε μηδενί·
εἰ δὲ μή, 'ν πίδαις παχείαις οὐδὲν ἀριστήσετε.
ὡς ἐγὼ πολλῶν ἀκούσας οἶδα θρίων τὸν ψόφον.

Χορός.

εἰ δὲ μὴ τοῦτον μεθήσεις, ἴν τι σοι παγήσεται.

Φιλοκλέων.

ὦ Κίκροψ ἥρως ἄναξ, τὰ πρὸς ποδῶν Δρακοντίδη,
πῶς ἐρᾷς οὕτω μ' ὑπ' ἀνδρῶν βαρβάρων χειρούμενον,
οὓς ἐγὼ 'δίδαξα κλάειν τέτταρ' ἐς τὴν χοίνικα;

Χορός.

εἶτα δῆτ' οὐ πόλλ' ἔνεστι δεινὰ τῷ γήρᾳ κακὰ
δηλαδή; καὶ νῦν γε τούτῳ τὸν παλαιὸν διαπτύτην
πρὸς βίαν χειροῦσιν, οὐδὲν τῶν πάλαι μεμνημένοι
διφθερῶν, κἀξωμίδων, ἃς οὗτος αὐτοῖς ἠμπόλα,

καὶ κυνᾶς· καὶ τοὺς πόδας χιμῶνος ὄντος ὠφέλει,
ὥστε μὴ ῥιγῶν γ' ἑκάστοτ'. ἀλλὰ τούτοις γ' οὐκ ἔνι
οὐδ' ἐν ὀφθαλμοῖσιν αἰδὼς τῶν παλαιῶν ἐμβάδων.

Φιλοκλέων.

οὐκ ἀφήσεις οὐδὲ νυνί μ', ὦ κάκιστον θηρίον;
οὐδ' ἀναμνησθεὶς, ὅθ' εὑρὼν τὼς βόστρυς κλίττοντά σε,
προσαγαγὼν πρὸς τὴν ἰλάκην, ἐξέδυσ' οὐ κἀνδρικῶς,
ὥστε σε ζηλωτὸν εἶναι, σὺ δ' ἀχάριστος ἦσθ' ἄρα.
ἀλλ' ἄνες με, καὶ σὺ, καὶ σὺ, πρὶν τὸν υἱὸν ἐκδραμεῖν.

Χορός.

ἀλλὰ ταῦτα μὲν τάχ' ἡμῖν δύστεκτον καλὴν δίκην,
οὐκέτ' ἐς μακρὰν, ἵν' ἴδῃθ', οἷόν ἐσ' ἀνδρῶν τρόπος
ὑμνοθύμων, καὶ δικαίων, καὶ βλεπόντων κἀρδάμα.

Βδελυκλέων.

παῖς, παῖ', ὦ Μανδία, τοὺς σφῶκας ἀπὸ τῆς οἰκίας.

Μανδίας.

ἀλλὰ δρῶ τοῦτ'· ἀλλὰ καὶ σὺ τῦφε πολλῷ τῷ κακῷ.

Σωσίας.

οὐχὶ σπεῦσθ' ἐς κέρκυρας; οὐκ ἀπίεσθε; παῖ τῷ ξύλῳ.

Μανδίας.

καὶ σὺ προσθεὶς Λίσχίνῃ ἔντυφε τὸν Σιλακτίου.
ἐξ ἐμέλλομέν ποθ' ὑμᾶς ἀποσοβήσειν τῷ χρόνῳ.

Βδελυκλέων.

ἀλλὰ μὰ Δί' οὐ ῥᾳδίως αὖτως ἂν αὐτοὺς διέφυγες,

εἴπις ἔτυχον τῶν μιλῶν τῶν Φιλοκλέους βεβρωκότις.

Χορός.

ἆρα δῆτ' οὐκ αὐτὰ δῆλα
τοῖς πίνησιν, ἡ τυραννὶς
ὡς λάθρα μ' ἐλώθαν' ὑπεῦσ' ;
εἰ σύ γ', ὦ πόνῳ πονηρὲ, καὶ κομπαμυνία,
τῶν νόμων ἡμᾶς ἀπείργεις, ὧν ἔθηκεν ἡ πόλις·
οὔτι τὶν' ἔχων πρόφασιν,
οὔτι λόγον ὑτρέπτιλον,
αὐτὸς ἄρχων μόνος.

Βδελυκλέων.

ἴσθ' ὅπως ἄνευ μάχης καὶ τῆς κατοξίας βοῆς,
ἐς λόγους ἔλθωμιν ἀλλήλοισι, καὶ διαλλαγάς ;

Χορός.

σοὶ λόγους, ὦ μισόδημε,
καὶ μοναρχίας ἐραστὰ,
καὶ ξυνὼν Βρασίδᾳ. καὶ φορῶν
κράσπιδα στιμμάτων, τὴν δ' ὑ-
πήνην ἄκουρον τρίφων ;

Βδελυκλέων.

νὴ Δί' ἦ μοι κριῖστον ἐκπῆναι τοπαραύτικα τοῦ πατρὸς
μᾶλλον, ἢ κακοῖς τοσούτοις ναυμαχεῖν ὀπιμίραις.

Χορός.

οὐδὲ μήν γ' οἰκεῖ ἐν σιλίνῳ που 'στὶν, οὐδ' ἐν-πηγάνῳ

τοῦτο γὰρ παριμβαλοῦμεν τῶν τριχοινίκων ἐπῶν.
ἀλλὰ νῦν μὲν οὐδὲν ἀλγεῖς· ἀλλ' ὅταν ξυνήγορος
ταυτὰ ταῦτά σου παραντλῇ, καὶ ξυνωμότας καλῇ.

Βδελυκλέων.

ἆρά γ' ἄν, πρὸς τῶν θεῶν, ὑμεῖς ἀπαλλαχθεῖτέ με;
ἢ δίδονταί μοι δίκην καὶ δίκην δι' ἡμέρας.

Χορός.

οὐδέποτέ γ'· οὐχ, ἕως ἄν τι μοῦ λοιπὸν ᾖ·
ὅστις ἡμῶν ἐπὶ τυραννίδα κατεσκάλης.

Βδελυκλέων.

ὡς ἅπαντ' ὑμῖν τυραννίς ἐστι καὶ ξυνωμόται,
ἤν τι μείζον, ἤν τ' ἔλαττον πρᾶγμά τις κατηγορῇ,
ἧς ἐγὼ οὐκ ἤκουσα τοὔνομ' οὐδὲ πυνθάνομ' ἐτῶν·
νῦν δὲ πολλῷ τοῦ παρίχους ἐστὶν ἀξιωτέρα·
ὥστι καὶ δὴ τοὔνομ' αὐτῆς ἐν ἀγορᾷ κυλίνδεται.
ἤν μὲν ὠνῆταί τις ὀρφῶς, μιμβράδας δὲ μὴ θέλῃ,
εὐθέως εἶρηχ' ὁ πωλῶν πλησίον τὰς μιμβράδας·
Οὗτος ἐψωνεῖν ἔοικ' ἄνθρωπος ἐπὶ τυραννίδι.—
ἤν δὲ γήτειον προσαιτῇ τις ἀφύας ἥδυσμά τι,
ἡ λαχανόπωλις παραβλέψασα φησὶ θατέρῳ·
Εἰσί μοι, γήτειον αἰτεῖς· πότερον ἐπὶ τυραννίδι;
ἢ νομίζεις τὰς Ἀθήνας σοὶ φέρειν ἡδύσματα;—

Ξανθίας.

κἀμέ γ' ἡ πέρυσι χθὲς εἰσιλθόντα τῆς μεσημβρίας,

ὅτι κιλητίσαι 'κέλευον, ὀξυθυμηθεῖσά μοι,
ἤρετ', εἰ τὴν Ἱππίου καθίσαμαι τυραννίδα.

Βδιλυκλέων.

ταῦτα γὰρ τούτοις ἀκούειν ἡδέα γε. καὶ νῦν ἐγὼ
τὸν πατέρ' ὅτι βέλομαι, τούτων ἀπαλλαχθέντα τῶν
ἀρθροφοιτησυκοφαντοδικοσταλαιπώρων τρόπων,
ζῆν βίον γενναῖον, ὥσπερ Μόρυχος, αἰτίαν ἔχω
ταῦτα δρᾶν, ξυναμύστης ὤν, καὶ φρενῶν τυραννίδα.

Φιλοκλέων.

νὴ Δί' ἐν δίκῃ γ'. ἐγὼ γὰρ οὐδ' ἂν ὀρνίθων γάλα
ἀντὶ τοῦ βίου λάβοιμ' ἄν, οὗ με νῦν ἀποστερεῖς·
οὐδὲ χαίρω βατίσιν, οὐδ' ἐγχέλυσιν· ἀλλ' ἥδιον ἂν
δικίδιον σμικρὸν φάγοιμ' ἄν, ἐν λοπάδι πεπυγμένον.

Βδιλυκλέων.

νὴ Δί' εἰθίσθης γὰρ ἥδεσθαι τοιούτοις πράγμασιν·
ἀλλ' ἐὰν σιγῶν ἀνάσχῃ, καὶ μάθῃς ἃ 'γὼ λέγω,
ἀνεδιδάξειν σ' οἶμαί γ', ὡς πάντα ταῦθ' ἁμαρτάνεις.

Φιλοκλέων.

ἐξαμαρτάνω δικάζων ;

Βδιλυκλέων.

καταγελώμενος μὲν οὖν
οὐκ ἐπαΐεις ὑπ' ἀνδρῶν, οὓς σὺ μονονοὺ προσκυνεῖς.
ἀλλὰ δουλεύων λέληθας.

Φιλοκλέων.

παῦε δουλείαν λέγων,

ὅτις ἄρχει τῶν ἀπάντων.

Βδελυκλέων.

οὐ σύ γ'· ἀλλ' ὑπηρετεῖς,
οἰόμενος ἄρχειν· ἐπεὶ δίδαξον ἡμᾶς, ὦ πάτερ,
ἥτις ἡ τιμή 'στί σοι, χαρτουμένῳ τὴν Ἑλλάδα.

Φιλοκλέων.

πάνυ γε· καὶ τούτοισιν ἐπιτρέψαι θέλω.

Βδελυκλέων.

καὶ μὴν ἐγὼ
ἴφετε νῦν ἅπαντες αὐτὸν, καὶ ξίφος γ' ἐμοὶ δότε.
ἢν γὰρ ἡττηθῶ λίγων σου, περιπεσοῦμαι τῷ ξίφει.
ἐπέ μοι· τί δ', ἦν, τὸ δεῖνα, τῇ διαίτῃ μὴ 'μμένῃς;

Φιλοκλέων.

ἀηδέστατ' οἶσιν' ἀκρέατον μισθὸν Ἀγαθοῦ Δαίμονος.

Χορός.

νῦν σε, τὸν ἐκ θημιστέου
γυμνασίου, λέγειν τι δεῖ
καινὸν, ὅπως φανήσει
μὴ κατὰ τὸν νεανίαν
τόνδε λέγειν. ὁρᾷς γὰρ ὡς
σοὶ μέγας ἵσ' ἀγὼν,
καὶ περὶ τῶν ἁπάντων,
εἶπερ, ὃ μὴ γένοιτο, νῦν
οὗτος ἐθέλει κρατῆσαι.

Βδελυκλέων.

ἐνιγκάτω μοι δεῦρο τὴν κίσην τις ὡς τάχιστα.

Χορός.

ἀτὰρ φανεῖ ποιός τις ἦν,
ἢν ταῦτα παρακελεύῃ.

Βδελυκλέων.

καὶ μὴν ὅσ' ἂν λέξῃ γ', ἁπλῶς μνημόσυνα γράψομαι
'γώ.

Φιλοκλέων.

τί γὰρ φάθ' ὑμεῖς, ἢν ὁδί με τῷ λόγῳ κρατήσῃ;

Χορός.

οὐκέτι πρεσβυτῶν ὄχλος
χρήσιμος ἔς' οὐδ' ἀκαρῆ.
σκωπτόμενοι γὰρ ἄν, ἐν
ταῖσιν ὁδοῖς ἁπάσαις
θαλλοφόροι καλοίμεθ', ἀν-
θρωμοσιῶν κιλύφη.

ἀλλ' ὦ περὶ τῆς πάσης μέλλων βασιλείας ἀγωνίζεσθαι
τῆς ἡμετέρας, νυνὶ θαῤῥῶν πᾶσαν γλῶτταν βασάνιζε.

Φιλοκλέων.

καὶ μὴν εὐθύς γ' ἀπὸ βαλβίδων περὶ τῆς ἀρχῆς ἀπο-
δείξω
τῆς ἡμετέρας, ὡς εὐδαιμίας ἦν ἐστὶν βασιλείας.

τί γὰρ εὐδαιμόν γ', ἢ μακαριστὸν μᾶλλον νῦν ἔστ' δικαστοῦ,
ἢ τρυφερώτερον, ἢ δεινότερον ζῶον, καὶ ταῦτα γέροντος;
ὃν πρῶτα μὲν ἔρκος' ἐξ αὐτῆς τηροῦσ' ἐπὶ τοῖσι δρυφάκτοις
ἄνδρες μιγάλοι καὶ στρατηήχεις· κἄπειτ' εὐθὺς πρυσιών τις
ἰμβάλλει μοι τὴν χεῖρ' ἀπαλὴν, τῶν δημοσίων κλεπτοφυίαν·
ἱκετεύουσίν θ' ὑποκύπτοντες, τὴν φωνὴν εἰκλοχοῦντες·
Οἴκτιρόν μ', ὦ πάτερ, αἰτοῦμαί σ', εἰ καὐτὸς πώποθ' ὑφείλου,
ἀρχὴν ἄρξας, ἢ 'πὶ στρατιᾶς τοῖς ξυσσίτοις ἀγοράζων.—
ὃς ἔμ' οὐδ' ἂν ζῶντ' ἤθελεν, εἰ μὴ διὰ τὴν πρεσβείραν ἀπόφευξιν.

Βδελυκλέων.

τουτὶ περὶ τῶν ἀντιβολούντων ἔχω τὸ μνημόσυνόν μοι.

Φιλοκλέων.

εἶτ' εἰσιλθὼν, ἀντιβοληθεὶς, χ' τὴν ὀργὴν ἀπομορχθείς,
ἴνδον, τύπτων, ὧν ἄν φάσκω, πάντων ἥδιν πεποίηκα·
ἀλλ' ἀκροῶμαι πάσας φωνὰς ἰόντων εἰς ἀπόφευξιν.
φίλ' ἔδω· τί γὰρ οὐκ ἔστιν ἀκοῦσαι θαύσιμ' ἐνταῦθα δικαστῇ;

οἱ μέν γ' ἀπελαύονται πινίαν αὐτῶν, καὶ προσιόντα κακὰ πρὸς τοῖσίν γ' οὖσιν, ἕως ἂν παρισώσῃ τοῖσιν ἡμετέροισιν·

οἱ δὲ λέγουσιν μύθους ἡμῖν· οἱ δ' Αἰσώπου τι γέλοιον·

οἱ δὲ σκώπτουσ', ἵν' ἐγὼ γελάσω, καὶ τὸν θυμὸν καταπάσωμαι.

κἢν μὴ τούτοις ἀναπιθώμεθα, τά γε παιδάρι' εὐθὺς ἀνέλκει,

τὰς θηλείας, καὶ τοὺς υἱεῖς, τῆς χειρός· ἐγὼ δ' ἀκροῶμαι·

τὰ δὲ συγκύπτοντ' ἅμα βληχᾶται· κἄπειθ' ὁ πατὴρ ὑπὲρ αὐτῶν,

ὅστις θεὸν, ἀντιβολεῖ με, τρέμων, τῆς εὐθύνης ἀπολῦσαι·

Εἰ μὲν χαίρεις ἀρνὸς φωνῇ, παιδὸς φωνὴν ἐλεήσαις·—

εἰ δ' αὖ τοῖς χειρδίοις χαίρω, θυγατρὸς φωνῇ με πιθέσθαι.

χ' ἡμεῖς αὐτῷ τότε τῆς ὀργῆς ὀλίγον τὸν κόλλοπ' ἀνεῖμεν.

Ἔρ' οὐ μεγάλη τοῦτ' ἔσ' ἀρχὴ, καὶ τοῦ πλούτου καὶ μαχήνης;

Βδιλυκλέων.

διότιγον αὖ σου τουτὶ γράφομαι, τὴν τοῦ πλούτου κατ-
αχήνην·
καὶ τἀγαθά μοι μέμνησ', ἃ 'χεις, φάσκων τὴν Ἑλλά-
δος ἀρχήν.

Φιλοκλέων.

παίδων τοίνυν δεκιμαζομένων αἰδοῖα πάρεστι θιᾶσθαι.
κἂν ὀλίγος εἰσέλθῃ φεύγων, οὐκ ἀποφεύγει, πρὶν
ἂν ἡμῖν
ἐκ τῆς Νιόβης εἴπῃ ῥῆσιν, τὴν καλλίστην ἀπολέξας.
κἂν αὐλητής γε δέκην νικᾷ, ταύτης ἡμῖν ἐπέχειρα
ἐν φορβειᾷ τοῖσι δικασταῖς ἔξοδον ηὗλησ' ἀπιοῦσι.
κἂν ἀποθνήσκων ὁ πατήρ τῳ δῷ καταλείπων παῖδ'
ἐπίκληρον,
κλάειν ἡμεῖς μακρὰ τὴν κιφαλὴν εἰπόντες τῇ διαθήκῃ.
ᾠ τῇ κόγχῃ τῇ πάνυ σιμνῶς τοῖς σημείοισιν ἐπούσῃ.
ἴδομεν ταύτην, ὅστις ἂν ἡμᾶς ἀντιβολήσας ἀναπείσῃ.
καὶ ταῦτ' ἀνυπεύθυνοι δρῶμεν· τῶν δ' ἄλλων οὐδεμί'
ἀρχή.

Βδιλυκλέων.

στεῖ γάρ τοι σιμὸν τέτων, ὃν εἵρηκας, μακρίζω·
τῆς δ' ἐπικλήρου τὴν διαθήκην ἀδικεῖς ἀνακογχυ-
λιάζων.

Φιλοκλέων.

ἔτι δ' ἡ Βουλὴ, χὠ δῆμος, ὅταν κρῖναι μέγα πρᾶγμ' ἀπορήσῃ,
ἐψήφισαι τὰς ἀδικοῦντας τοῖσι δικασταῖς παραδοῦναι·
εἶτ' Εὔαθλος, χὠ μέγας οὗτος κολακώνυμος ἀσπιδαποβλὴς,
οὐχὶ προδώσειν ὑμᾶς φασὶν, περὶ τοῦ πλήθους δὲ μαχεῖσθαι.
κἀν τῷ δήμῳ γνώμην οὐδεὶς πώποτ' ἐνίκησεν, ἰὼν μὴ εἶπῃ τὰ δικασταῖ' ἀφεῖναι πρώτιστα μίαν διώσαντας·
αὐτὸς δ' ὁ Κλέων ὁ κεκραξιδάμας μόνον ἡμᾶς οὐ περιτρώγει.
ἀλλὰ φυλάττει διὰ χειρὸς ἔχων, καὶ τὰς μυίας ἀπαμύνει.
σὺ δὲ τὸν πατέρ' ὃν ἐτιοῦν τοῦτον τὸν σαυτοῦ πόσον ἔδρασας.
ἀλλὰ Θέωρος, καίτοι 'στὶν ἀνὴρ Εὐφημίου οὐδὲν ἐλάττων,
τὸν στόγγον ἔχων ἐκ τῆς λεκάνης τἀμβαδί' ἡμῶν περιχαυνεῖ.
σκέψαι δ' ἀπὸ τῶν ἀγαθῶν οἷον ἀποκλείσεις καὶ πτερορρύσεις,
ἣν δουλείαν οὖσαν ἔφασκες χὑπηρεσίαν ἀποδείξειν.

Βδελυκλέων.

ἴμπλησο λίγων· πάντως γάρ τοι παύσει ποτὲ, κἀναφανήσει
τρυπτὸς λουτρῷ πιριγιγνόμινος, τῆς ἀρχῆς τῆς πιρισιώμινον.

Φιλοκλέων.

ἰ δί γ' ἤδισθ' οὗτοι ἐστὶν πάντων, ἔ'γὼ 'πιλιλήσμην·
ὅταν αἴπαδ' ἴω τὸν μισθὸν ἴχνη, κἄπιιθ' ἥκουθ' ἅμα πάντις
ἀσπάζονται διὰ τἀργύριον· καὶ πρῶτα μὶν ἡ θυγάτηρ μι
ἀπονίζη, χ τὸ πόδ' ἀλιίφη, χ προσκύψασα φιλήσῃ,
καὶ παπποῦς' ἅμα τῇ γλώττῃ τὸ τριώβολον ἐκπαλαμᾶται·
καὶ τὸ γύναιόν μ' ὑποθωπεύσαν φυσὴν μᾶζαν προσινίγκῃ,
κἄπιτα καθιζομίνη παρ' ἰμοὶ προσαναγκάζῃ· Φάγι τουτί.
Ἔντραγι τουτί—τούτοισιν ἐγὼ γάνυμαι, καὶ μή μι διήσι,
εἰς σὶ βλίψαι, χ τὸν ταμίαν, ὁπόσ' ἄριστον παρεθήσι,
κατηρασάμινος, καὶ κοσθερύσας, ἄλλην μή μοι ταχὺ μάξῃ.

τάδε κίχτημαι, πρόβλημα κακῶν, σκιὴν βελέων
ἀλεωρήν.
κᾆν οἶνόν μοι μὴ 'γχῇς σὺ πιεῖν, τὸν ὄνον τόνδ' ἰσχι-
κόμισμαι
οἴνῳ μιγόν· κᾆτ' ἐγχίσομαι κλίνας· οὗτος δὲ κιχηνὰς
βρωμησάμενος τῷ σοῦ δίνου μίγα καὶ τρέτιον κατ-
έπαρδεν.
ἆρ' οὐ μεγάλην ἀρχὴν ἄρχω,
καὶ τῆς τοῦ Διὸς οὐδὲν ἐλάττων,
ὅστις ἀκούω ταῦθ', ἅπερ ὁ Ζεύς;
ἦν γοῦν ἡμεῖς θορυβήσωμεν,
πᾶς τις φησὶν τῶν παριόντων·
Οἷον βροντᾷ τὸ δικαστήριον,
ὦ Ζεῦ βασιλεῦ. - - - κᾆν ἀτρέμα ψω,
ποππύζουσιν, κἀγκιχόδασί με
οἱ πλουτοῦντες καὶ πάνυ σιμοί.
καὶ σὺ δίδοικάς με μάλιστ' αὐτές·
νὴ τὴν Δήμητρα, δίδοικας· ἐγὼ δ'
ἀπολοίμην, εἴ σε δίδοικα.

Χορός.

οὐπώποθ' οὕτω καθαρῶς
οὐδενὸς ἠκούσαμεν, οὐ-
δὲ ξυνετῶς λίγοντος.

Φιλοκλέων.

οὐκ, ἀλλ' ἐρήμας ἅμ' αὐτὸς ῥᾳδίως τρυγήσειν.
καλῶς γὰρ ἦδειν, ὡς ἐγὼ ταύτῃ κράτιστός εἰμι.

Χορός.

ὡς δὲ πάντ' ἐπιλήλυθε,
κοὐδὲν παρῆλθεν, ὥς' ἔγωγ'
ηὐξανόμην ἀκούων·
κἀν Μακάρων δικάζειν
αὐτὸς ἔδοξα νήσοις,
ἡδόμενος λίγοντι.

Φιλοκλέων.

ὥσθ' αὑτὸς ἤδη σκορδινᾶται, κἄστιν οὐκ ἐν αὑτοῦ.
ἢ μὴν ἐγώ σε τήμερον σκύτη βλίτειν ποιήσω.

Χορός.

δεῖ δέ σε παντοίας πλέκειν
εἰς ἀπόφευξιν παλάμας.
τὴν γὰρ ἐμὴν ὀργὴν πεπά-
σει χαλεπὸν μὴ πρὸς ἐμοῦ λίγοντι.
πρὸς ταῦτα μύλην ἀλαθὴν ἄρα ζητεῖν σοι, χὠ πόπαλος,
ἢν μή τι λίγῃς, ἤ τις δυνατὴ τὸν ἐμὸν θυμὸν καθελεῖν.

Βδελυκλέων.

χαλεπὸν μέν, καὶ δεινῆς γνώμης, καὶ μιζόνος, ἢ 'πὶ
τρυγῳδοῖς,
ἰάσασθαι νόσον ἀρχαίαν ἐν τῇ πόλει ἐντετοκυῖαν.

ἀλλ', ὦ πάτερ ἡμίτερε Κρονίδη - - -

Φιλοκλέων.

παῦσαι, καὶ μὴ παστέριζε.
εἰ μὴ γὰρ, ὅπως δυλεύω 'γὼ, σοὶ ταχέως με διδάξεις,
οὐκ ἔστιν ὅπως οὐχὶ σιθνήξει, κἢν χρῇ σπλάγχνων μ' ἀπέχεσθαι.

Βδελυκλέων.

ἀκρόασαι νῦν, ὦ παπποδίων, χαλάσας ὀλίγον τὸ μέτωπον·
καὶ πρῶτον μὲν λόγισαι φαύλως, μὴ ψήφοις, ἀλλ' ἀπὸ χειρὸς,
τὸν φόρον ἡμῖν ἀπὸ τῶν πόλεων ξυλλήδδην τὸν προσιόντα·
κἄξω τούτου τὰ τίλη χωρὶς, καὶ τὰς πολλὰς ἑκατοστὰς,
πρυτανεῖα, μίστυλλ', ἀγορὰς, λιμένας, μισθοὺς, καὶ δημιόπρατα.
τούτων πλήρωμα, τάλαντ' ἐγγὺς δισχίλια γίγνεται ἡμῖν.
ἀπὸ τούτων νυν μισθὸν κατάθες τοῖσι δικασταῖς ἐνιαυτοῦ,
ἓξ χιλιάσιν, κοὔπω πλείους ἐν τῇ χώρᾳ κατέπαυσθε,
γίγνεται ὑμῖν ἑκατὸν δήπου καὶ πεντήκοντα τάλαντα,

Φιλοκλέων.

ὡδ' ἡ δικάστη τῶν προσιόντων ἡμῖν ἄρ' ἐγίγνετ' ὁ μισθός.

Βδελυκλέων.

μὰ Δῖ' οὐ μέντοι· καὶ σοῖ τρίττεται δὴ ταῦτα τὰ χρήματα πάλλα;

Φιλοκλέων.

εἰς τούτους τοὺς; Οὐχὶ προδώσω τὸν Ἀθηναίων κολασυρτὸν,

ἀλλὰ μαχοῦμαι περὶ τοῦ πλήθους αἰεί.

Βδελυκλέων.

σὺ γὰρ, ὦ πάτερ, αὐτοὺς ἄρχειν αἱρεῖ σαυτοῦ, τούτοις τοῖς ῥημετίοις περιπεφθείς.

κἄπ' οὗτοι μὲν δωροδοκοῦσιν κατὰ πεντήκοντα τάλαντα ἀπὸ τῶν πόλεων, ἐπαπειλοῦντες τοιουτὶ, κἀναφοβοῦντες·

Δώσεις τὸν φόρον, ἢ βροντήσας τὴν πόλιν ὑμῶν ἀνατρέψω.—

σὺ δὲ τῆς ἀρχῆς ἀγαπᾷς τῆς σῆς τοὺς ἀργιλόφους περιτρώγων.

οἱ δὲ ξύμμαχοι, ὡς ἤσθου γέ σ' ἐκεῖ μὲν σύριττα τὸν ἄλλον

ἐν κιθαρίσει λαγαρυζόμενον, ἐν τραγαλίζοντα τὸ μηδέν,

σὶ μὲν ἡγοῦνται Κόννω ψῆφον· τούτοισι δὶ δωροδοκοῦσιν
ὕρχας, οἶνον, δάπιδας, τυρὸν, μέλι, σήσαμα, πρεσ-
κιφάλαια,
φιάλας, χλανίδας, στιφάνους, ὄρμους, ἱματώματα,
πλουθυγίειαν.
σὺ δέ γ' ὢν ἄρχις, πολλὰ μὲν ἐν γῇ, πολλὰ δ' ἐφ'
ὑγρᾷ πιτυλεύσας,
αὐδὶς οὐδὲ σκορόδου κιφαλὴν τοῖς ἰψητοῖσι δίδωσι.

Φιλοκλέων.

μὰ Δί', ἀλλὰ παρ' Εὐχαρίδου καὐτὸς τριῶς ἀγλίθας
μιτέπεμψα.
ἀλλ' αὐτήν μοι τὴν δουλείαν ὐκ ἀποφαίνων ἀποκναίεις.

Βδελυκλέων.

οὐ γὰρ μεγάλη δουλεί' ἐστὶν, τούτους μὲν ἅπαντας ἐν
ἀρχαῖς
αὐτούς τ' εἶναι, καὶ τοὺς πόλακας τοὺς τούτων, μι-
σθοφοροῦντας;
σοὶ δ' ἦν τις γε διδῷ τριῶς ὀβολοὺς, ἀγαπᾷς· ὃς αὐτὸς
ἐλαύνων,
καὶ πιζομαχῶν, καὶ πολιορκῶν ἐκτήσω, πολλὰ πο-
νήσας.
καὶ πρὸς τούτοις ἐστιατορούμενος φοιτᾷς, ὃ μάλιστά μ'
ἀπάγχει,
ὅταν εἰσιόντ' ἀμφάκιόν σοι κατέκυσαν, Χαιρέᾳ υἱὸς,

ὠδὶ διαβὰς, διακινηθεὶς τῷ σώματι, καὶ τρυφερανθεὶς,
ἥκειν εἴπῃ πρὸς, κἂν ὄρᾳ, δικάσονθ'· ὡς ὅστις ἂν ὑμῶν
ὕστερος ἦλθῃ τοῦ σημείου, τὸ τριώβολον οὐ κομιεῖται.
αὐτὸς δὲ φέρει τὸ συνηγορικὸν, δραχμὴν, κἂν ὕστερος ἦλθῃ·
ᾗ κοινωνῶν τῶν ἀρχόντων ἑτέρῳ τινὶ τῶν μεθ' ἑαυτοῦ,
ἤν τις τὶ διδῷ τῶν φευγόντων, ξυνθέντε τὸ πρᾶγμα
δοῦ ὄντε,
ἑστουδέκατον· κἄθ', ὡς πρίωνι, ὁ μὲν ἕλκει, ὁ δ' ἀντανίδωσι.
σὺ δὲ χασκάζεις τὸν Καλαμρίστην· τὸ δὲ πραττόμενόν
σε λέληθε.

Φιλοκλέων.

τυτί με ποιοῦσ' ; οἴμοι, τί λέγεις ; ὡς μου τὸν θῖνα
καράττεις,
καὶ τὸν νοῦν μου προσάγεις μᾶλλον· κοὐκ οἶδ' ὅ τι
χρῆμά με ποιεῖς.

Βδελυκλέων.

σκέψαι τοίνυν, ὡς, ἐξὸν σοι πλουτεῖν, ᾗ τοῖσιν ἅπασιν,
ὑπὸ τῶν αἰεὶ δημιζόντων οὐκ οἶδ' ὅτοι ἐγκεκύκλησαι·
ὅστις πόλεων ἄρχων πλείστων, ἀπὸ τοῦ Πόντου μέχρι
Σαρδοῦς,
οὐκ ἀπαλαύεις, πλὴν τοῦθ', ὃ φέρεις, ἁπαρείς· καὶ
τοῦτ' ἐρίφ σοι
ἐνστάζουσιν κατὰ μικρὸν αἰεὶ, τοῦ ζῆν ἕνεχ', ὥσπερ
ἄλιπορον.

βούλονται γάρ σε πίνητ' εἶναι· καὶ ταῦθ', ἂν εὖ πίῃς, ἐρῶ σοι·
ἵνα γιγνώσκῃς τὸν στιθασιωτήν· κᾆθ' ὅταν οὗτός γ' ἐπισείῃ,
ἐπὶ τῶν ἐχθρῶν τιν' ἐπιῤῥύξας, ἀγρίως αὐτοῖς ἐπισπᾷς.
εἰ γὰρ ἐβούλοντο βίον πορίσαι τῷ δήμῳ, ῥᾴδιον ἦν ἄν.
εἰσίν γε πόλεις χίλιαι, αἳ νῦν τὸν φόρον ἡμῖν ἀπάγουσι.
τούτων εἴκοσιν ἄνδρας βόσκειν εἴ τις προσίσταιτιν ἐκάστῃ,
δύο μυριάδες τῶν δημοτικῶν ἔζων ἂν πᾶσι λαγώοις,
καὶ στιφάνοισιν παντοδαποῖσιν, ᾠδῇ, καὶ πυριάτῃ,
ἄξια τῆς γῆς ἀπολαύοντες, καὶ τοῦ 'ν Μαραθῶνι τροπαίου.
νῦν δ', ὥσπερ ἰλαιολόγοι, χωροῦθ' ἅμα τῷ τὸν μισθὸν ἔχοντι.

Φιλοκλέων.

αἴμοι· τί πρᾶθ', ὥσπερ νάρκη, μου κατὰ τῆς χειρὸς καταχεῖται,
καὶ τὸ ξίφος οὐ δύναμαι κατέχειν; ἀλλ' ἤδη μαλθακός εἰμι.

Βδελυκλέων.

ἀλλ' ὁπόταν μὲν δείσωσ' αὐτοί, τὴν Εὔβοιαν διδόασιν
ὑμῖν, καὶ σῖτον ὑφίστανται κατὰ πεντήκοντα μεδίμνους

πορεῖν· ἴδοσαν δ' ὑπώποτέ σοι, πλὴν πρώην, πίντε μιδίμνους
(καὶ ταῦτα μόλις, ξενίας φεύγων, ἴλαβες κατὰ χοίνικα) κριθῶν.
ὧν οὕνεκ' ἐγώ σ' ἀτίκλειον ἀεὶ,
βόσκειν ἰθέλων, καὶ μὴ τούτους
ἐγχάσκειν σοι τομφάζοντας.
καὶ νῦν ἀτιχνῶς ἰθέλω παρέχειν,
ὅ τι βούλει, σοι,
πλὴν Κωλακρέτᾳ γάλα πίνειν.

Χορός.

ἦτου σοφὸς ἦν, ὅστις ἔφασκεν· Πρὶν ἂν ἀμφοῖν μῦθον ἀκούσῃς,
οὐκ ἂν δικάσαις. σὺ γὰρ οὖν νῦν μοι νικᾷν πολλῷ διδόκησας·
ὥς' ἤδη τὴν ὀργὴν χαλάσας, τὼς σκίπωνας καταβάλλω.
ἀλλ', ὦ τῆς ἡλικίας ἡμῖν τῆς αὐτῆς ξυνθιασῶτα,
πιθοῦ, πιθοῦ λόγοισι, μηδ' ἄφρων γίνῃ,
μηδ' ἀτινὴς ἄγαν ἀτιράμων τ' ἀνήρ.
εἶθ' ὤφελέν μοι κηδεμὼν ἢ ξυγγενὴς
εἶναί τις, ὅστις δὴ τοιαῦτ' ἐνουθέτει.
νῦν δ' αὖ παρών τις ἐμφανής σοι τῶν θεῶν
ξυλλαμβάνει τοῦ πράγματος,
καὶ δῆλος εὖ ποιῶν· σὺ δ' αὖ παρὼν δίκου.

Βδελυκλέων.

καὶ μὴν θρίψω γ' αὐτὸν, παρίχων
ὅσα πρεσβύτῃ ξύμφορα· χόνδρον
λείχειν, χλαῖναν μαλακὴν, σισύραν,
πόρνην, ἥ τις τὸ πέος τρίψει,
καὶ τὴν ὀσφύν. ἀλλ' ὅτι σιγᾷς,
κοὐδὲν γρύζεις,
τοῦτ' οὐ δύναταί με πρεσβύσθαι.

Χορός.

νενουθέτηκεν αὐτὸν εἰς τὰ πράγματα.
εἶα γὰρ ἐμαίνετ' ἀρτίως, ἔγνωκε νῦν·
λογίζεταί τ' ἐκεῖνα πάνθ' ἁμαρτίας.
ἆ, σοῦ παρακελεύοντος, οὐκ ἐπείθετο.
νῦν οὖν ἴσως τοῖς σοῖς λόγοισι πείθεται,
καὶ φρονεῖ μέντοι, μεθεὶς εἰς τελευτὴν τὸν τρόπον,
πιθόμενός τι σοί γ'.

Φιλοκλέων.

ἰώ μοι μοι.

Βδελυκλέων.

οὗτος, τί μοι βοᾷς;

Φιλοκλέων.

μή μοι τούτων μηδὲν ὑπισχνοῦ.
ΚΕΙΝΩΝ ΕΡΑΜΑΙ· ΚΕΙΘΙ ΓΕΝΟΙΜΑΝ,
ἵν' ὁ πέρυξ φησί· Τίς ἀψάφισ-

τος ; ἀπεκάσθαι.—
κἀπισαίην ἐγὼ τοῖς κημοῖς,
ψηφιζομένων ὁ τελευταῖος.
στεῦδ', ὦ ψυχή. ποῦ μοι ψυχή ;
ΠΑΡΕΣ Ω ΣΚΙΕΡΑ. μὰ τὸν Ἡρακλέα,
μὴ νῦν ἔτ' ἐγὼ 'ν τοῖσι δικασταῖς
κλέπτοντα Κλέωνα λάβοιμι.

Βδελυκλέων.

Ἰθ', ὦ πάτερ, πρὸς τῶν θεῶν, ἐμοὶ πιθοῦ.

Φιλοκλέων.

τί πείθομαί σοι ; λέγ' ὅ τι βούλει, πλὴν ἑνός.

Βδελυκλέων.

ποῖον ; φέρ' ἴδω.

Φιλοκλέων.

τοῦ μὴ δικάζειν. τοῦτο δὲ
Ἅιδης διακρινεῖ πρότερον ἢ 'γὼ πείσομαι.

Βδελυκλέων.

τὰ δ' οὖν, ἐπειδὴ τοῦτο κεχάρηκας ποιῶν,
ἐκεῖσε μὲν μηκέτι βάδιζ', ἀλλ' ἐνθάδε,
αὐτοῦ μένων, δίκαζε τοῖσιν οἰκέταις.

Φιλοκλέων.

περὶ τοῦ ; τί λαρεῖς ;

Βδελυκλέων.

ταῦθ' ἅπερ ἐκεῖ πράττεται.

ὅτι τὴν θύραν ἀνέῳξεν ἡ σηπὶς λάθρα,
ταύτης ἐπιβολὴν ψηφεῖ μίαν μόνην.
πάντως γε κἀκεῖ ταῦτ' ἔδρας ἑκάστοτε.
καὶ ταῦτα μέν νυν εὐλόγως, ἢν ἐξίχῃ
εἴλη κατ' ὄρθρον, ἡλιάσει πρὸς ἥλιον·
ἢν δὲ νίφῃ, πρὸς τὸ πῦρ καθήμενος,
ὄοντος, εἶσιν· κἂν ἴγρῃ μισημβρινὸς,
οὐδείς σ' ἀποκλείσει Θεσμοθέτης τῇ κιγκλίδι.

Φιλοκλέων.

τουτί μ' ἀρέσκει.

Βδελυκλέων.

πρὸς δὲ τούτοις, ἢν δίκην
λέγῃ μακράν τις, οὐχὶ πεινῶν ἀναμενεῖς,
δάκνων σεαυτὸν, καὶ τὸν ἀπολογούμενον.

Φιλοκλέων.

πῶς οὖν διαγιγνώσκειν καλῶς δυνήσομαι,
ὅστις πρότερον, τὰ πράγματ', ἢ μεθύμενος;

Βδελυκλέων.

πολλῷ γ' ἄμεινον· καὶ λέγεται γὰρ τουτογὶ,
ὡς οἱ δικασταὶ, ψευδομένων τῶν μαρτύρων,
μόλις τὸ πρᾶγμ' ἔγνωσαν ἀναμεμαθύμενοι.

Φιλοκλέων.

ἀνά τοί με πείθεις. ἀλλ' ἰκεῖν' οὕτω λέγεις,
τὸν μισθὸν ἐπόθεν λήψομαι.

Βδελυκλέων.

παρ' ἐμοῦ.

Φιλοκλέων.

καλῶς,

ὅτιὴ καθ' ἑμαυτὸν, κοὐ μιθ' ἑτέρου λήψομαι.
αἴσχιστα γάρ τοι μ' εἰργάσατο Λυσίστρατος
ὁ σκυτοτόλης. δραχμὴν μιτ' ἐμοῦ πρώην λαβὼν,
ἰλθὼν διεκερμάτιζεν ἐν τοῖς ἰχθύσι·
κἄπειτ' ἐπίθηκε τρεῖς λοπίδας μοι κιτρίων·
κἀγὼ 'νίκαψ'· ὀβολοὺς γὰρ φέρειν λαβεῖν·
κἄτα βδελυχθεὶς, ὀσφρόμενος ἐξέπτυσα·
κἄθ' εἷλκον αὐτόν.

Βδελυκλέων.

ὁ δὲ, τί πρὸς ταῦτ' εἶφ';

Φιλοκλέων.

ὅ τι;

ἀλεκτρυόνος μ' ἔφασκε κοιλίαν ἔχειν·
Ταχὺ γοῦν καθέψεις ἀργύριον, ἢδ' ὃς λέγων.

Βδελυκλέων.

ὁρᾷς ὅσονπερ δῆτα τοῦτο κερδανεῖς.

Φιλοκλέων.

οὐ πάνυ τι μικρόν. ἀλλ' ὅπερ μέλλεις ποίει.

Βδελυκλέων.

ἀνάμενε νῦν· ἐγὼ δὲ ταῦθ' ἥξω φέρων.

Φιλοκλέων.

ὅρα τὸ χρῆμα· τὰ λόγι' ὡς πιρικίνται.
ἠκκλόη γὰρ, ὡς Ἀθηναῖοι ποτὲ
διπάσειν ἐπὶ ταῖς οἰκίαισι τὰς δίκας,
κἄν ταῖς προθύρεις ἀνοικοδομήσει πῶς ἀνὴρ
αὐτῷ δικαστηρίδιον μικρὸν πάνυ,
ὥστις Ἑκάτειον, πανταχοῦ περὶ τῶν θυρῶν.

Βδελυκλέων.

ἰδοὺ, τί ἔτ' ἐρεῖς; ὡς ἅπαντ' ἐγὼ φέρω,
ὅσαπέρ γ' ἔφασκον, κἀτι πολλῷ πλείονα.
ἁμὶς γὰρ, ἣν ὑφηρπάσης αὐτὴ
παρὰ σοὶ περιμήσετ' ἐγγὺς ἐπὶ τοῦ παττάλου.

Φιλοκλέων.

σοφόν γε τουτὶ, καὶ γέροντι πρέπον
ἔξυρεις ἀτιχνῶς φάρμακον τραγγουρίας.

Βδελυκλέων.

καὶ πῦρ γε τουτὶ, καὶ προυίσηκεν φακῆ
ῥοφεῖν ἐὰν δέῃ τι.

Φιλοκλέων.

τοῦτ' οὐ δίξιόν.
κἄν γὰρ πυρέττω, τόν γε μισθὸν λήψομαι.
αὐτοῦ μένων γὰρ τὴν φακῆν ῥοφήσομαι.
ἀτὰρ τί τὸν ὄρνιν ὡς ἅμ' ἐξενίγκατε;

Βδελυκλέων.

ἵνα γ', ἢν καθεύδῃς, ἀπολογουμένου τινὸς,
ᾄδων ἄνωθεν ἐξαγιέρῃ σ' οὑτοσί.

Φιλοκλέων.

ἢν ἔτι ποθῶ· τὰ δ' ἄλλ' ἀρέσκει μοι.

Βδελυκλέων.

τὸ τί;

Φιλοκλέων.

θηρῶν εἴ πως ἐκκομίσειας τοῦ Λύκου.

Βδελυκλέων.

πάρεστι τουτί· καὐτὸς ὢν ναῦς οὑτοσί.

Φιλοκλέων.

ὦ δίστοθ' ἥρως, ὡς χαλεπὸς ἆρ' ἦσθ' ἰδεῖν·
οἷος περ ἡμῖν φαίνεται Κλεώνυμος.

Σωσίας.

οὐκοῦν ἔχει γ' οὐδ' αὐτὸς ἥρως ὢν ὅπλα.

Βδελυκλέων.

εἰ θᾶττον ἐκαθίζου σύ, θᾶττον ἂν δίκην
ἐκάλουν.

Φιλοκλέων.

κἄλει νυν, ὡς κάθημαι 'γώ πάλαι.

Βδελυκλέων.

φέρε νυν, τίν' αὐτῷ πρῶτον εἰσαγάγω δίκην;
τί τις κακὸν δέδρακε τῶν ἐν τῇ οἰκίᾳ;
ἡ Θρᾷττα προσκαύσασα πρώην τὴν χύτραν—

Φιλοκλέων.

ἱστίσχις οὗτος· ὡς ὀλίγου μ' ἀπώλισας.
ἄνιν δρυφάκτου τὴν δίκην μέλλεις καλεῖν,
ὃ πρῶτον ἡμῖν τῶν ἱερῶν κατεφαίνετο.

Βδελυκλέων.

μὰ τὸν Δί' οὐ πάρεσιν· ἀλλ' ἐγὼ δραμὼν
αὐτὸς κομιοῦμαι τό γε παραυτίκ' ἔνδοθεν.
τί ποτε τὸ χρῆμ' ; ὡς δεινὸν ἡ φιλοχωρία.

Ξανθίας.

βάλλ' ἐς κόρακας. τοιουτονὶ τρέφειν κύνα.

Βδελυκλέων.

τί δ' ἐστὶν ἱστίον ;

Ξανθίας.

οὐ χὰρ ὁ Λάβης ἀρτίως
ὁ κύων παράξας εἰς τὸν ἱπνὸν ἐξαρπάσας
τροφαλίδα τυροῦ Σικελικὴν κατεδήδοκε ;

Βδελυκλέων.

τοῦτ' ἄρα πρῶτον τἀδίκημα τῷ πατρὶ
εἰσακτέον μοι· σὺ δὲ κατηγόρει παρών.

Ξανθίας.

μὰ Δί' οὐκ ἔγωγ'· ἀλλ' ἄτερος φησὶν κύων
κατηγορήσειν, ἤν τις εἰσάγῃ γραφήν.

Βδελυκλέων.

ἴθι νυν, ἄγ' αὐτὸν δεῦρο.

Ξανθίας.

ταῦτα χρὴ ποιεῖν.

Φιλοκλέων.

τουτὶ τί ἐστι;

Βδελυκλέων.

χοιροκομεῖον Ἑστίας.

Φιλοκλέων.

ἰὼ ἰὼ συλήσας φέρεις;

Βδελυκλέων.

οὔκ· ἀλλ' ἵνα

ἀφ' Ἑστίας ἀρχόμενος ἐπιτρίψω τινά.

Φιλοκλέων.

ἀλλ' εἶσαγ' ἀνύσας· ὡς ἐγὼ τιμᾷν βλέπω.

Βδελυκλέων.

φέρε νυν, ἐνέγκω τὰς σανίδας, καὶ τὰς γραφάς.

Φιλοκλέων.

οἴμοι, διατρίψεις, κἀπολεῖς τριψημερῶν·
ἐγὼ δ' ἀλοχίζειν ἐδιόμην τὸ χωρίον.

Βδελυκλέων.

ἰδού.

Φιλοκλέων.

κάλει νῦν.

Βδελυκλέων.

ταῦτα δή.

Φιλοκλέων.

τίς οὗτοσὶ

ὁ πρῶτός ἐστιν;

Βδελυκλέων.

ἐς κόρακας· ὡς ἄχθομαι,

ὅτιὴ 'στιλαθόμην τοὺς καδίσκους ἐκφέρειν.

Φιλοκλέων.

οὗτος σὺ, ποῖ θεῖς;

Βδελυκλέων.

ἐπὶ καδίσκους.

Φιλοκλέων.

μηδαμῶς.

ἐγὼ γὰρ εἶχον τούσδε τοὺς ἀρυσίχους.

Βδελυκλέων.

κάλλιστα τοίνυν· πάντα γὰρ πάρεστι νῷν,

ὅσων δεόμεθα, πλήν γε δὴ τῆς κλεψύδρας.

Φιλοκλέων.

ἦδὶ δὲ δὴ τίς ἐστιν; οὐχὶ κλεψύδρα;

Βδελυκλέων.

εὖ γ' ἐπορίζεις αὐτὰ, κἀπιχωρίως.

ἀλλ' ὡς τάχιστα πῦρ τις ἐξενεγκάτω,

καὶ μυρρίνας, καὶ τὸν λιβανωτὸν ἔνδοθεν,

ὅπως ἂν εὐξώμεσθα πρῶτα τοῖς θεοῖς.

Χορός.

καὶ μὴν ἡμεῖς ἐπὶ ταῖς σπονδαῖς,
καὶ ταῖς εὐχαῖς, φήμην ἀγαθὴν
λέξομεν ὑμῖν, ὅτι γενναίως
ἐκ τοῦ πολίμου
καὶ τοῦ νείκους ξυνέβητον.

Βδιλυκλέων.

εὐφημία μὲν πρῶτα νῦν ὑπαρχέτω.

Χορός.

ὦ Φοῖ" Απολλον Πύθι', ἐπ' ἀγαθῇ τύχῃ
τὸ πρᾶγμ', ὃ μηχανᾶται
ἔμπροσθεν οὗτος τῶν θυρῶν,
ἅπασιν ἡμῖν ἁρμόσαι,
ὡς παυσαμένοισι τῶν πλάνων.

Ἰήϊε Παιάν.

Βδιλυκλέων.

ὦ δέσποτ' ἄναξ, γεῖτον Ἀγυιεῦ
τοῦ 'μοῦ προθύρου,
δέξαι τιλιτὴν καινὴν, ὦ "ναξ, ἣν τῷ πατρὶ καινοτομοῦμεν·
παῦσόν τ' αὐτῷ στυγὶ τὸ λίαν τρυφερὸν καὶ πρόσφατον ἦθος,
ἀντὶ σιραίου, μέλιτος σμικρὸν τῷ θυμιδίῳ παραμίξας·
ἦδη δ' εἶναι τοῖς ἀνθρώποις
ἥδιον αὐτὸν,

τοὺς φεύγοντάς τ' ἐλεεῖν μᾶλλον
τῶν γραψαμένων,
κἀπιδακρύειν ἀντιβολούντων·
καὶ παυσάμενον τῆς δυσκολίας,
ἀπὸ τῆς ὀργῆς
τὴν ἀκαλήφην ἀφιλίσθαι.

Χορός.

ξυνευχόμεθα, κἀπαδομέν σοί γ' ἐν νέαισιν ἀρχαῖς,
ἴσκε γάρ τῶν προλελειγμένων.
εὔνοι γὰρ ἐσμὲν, ἐξότου
τὸν δῆμον ἡσθόμεσθά σου
φιλοῦντος, ὡς οὐδεὶς ἀνὴρ
τῶν νῦν γε σοῦ νεωτέρων.

Βδελυκλέων.

εἴ τις θύραισιν Ἡλιαστὴς, εἰσίτω·
ὡς, ἡνίκ' ἂν λέγωσιν, οὐκ εἰσφρήσομεν.

Φιλοκλέων.

τίς ἔρ' ὁ φεύγων οὗτος; ὅσον ἀλώσεται.

Ξανθίας ὡς κατήγορος.

ἀκούετ' ἤδη τῆς γραφῆς· ἐγράψατο
κύων Κυδαθηναιεὺς Λάβητ' Αἰξωνέα,
τὸν πυρὸν, ἀδικεῖν, ὅτι μόνος κατήσθιε
τὸν Σικελικόν. τίμημα κλωὸς σύκινος.

Φιλοκλέων.

θάνατος μὲν οὖν κύντιος, ἢν ἅπαξ ἁλῷ.

Βδιλυκλέων.

καὶ μὴν ὁ φεύγων οὑτοσὶ Λάβης πάρα.

Φιλοκλέων.

ὦ μιαρὲς οὗτος· ὡς δὲ καὶ κλίπτον βλίττει·
οἷον σεσηρὼς ἐξαπατήσειν μ' οἴεται.
ποῦ δ' ὁ διώκων, ὁ Κυδαθηναιεὺς κύων;

Κύων.

αὖ, αὖ.

Βδιλυκλέων.

πάρεστιν. ἕτερος οὗτος αὖ Λάβης,
ἀγαθός γ' ὑλακτεῖν, καὶ διαλείχειν τὰς χύτρας.

Σωσίας ὡς κήρυξ.

σίγα, κάθιζε, σὺ δ' ἀναβὰς κατηγόρει.

Φιλοκλέων.

φέρε ἰών, ἅμα τηνδὶ ἐγχιάμενος κἀγὼ ῥοφῶ.

Ξανθίας ὡς κατήγορος.

τῆς μὲν γραφῆς ἠκούσαθ', ἣν ἐγραψάμην,
ἄνδρες δικασταί, σουτονί. δεινότατα γὰρ
ἔργων δέδρακε κἀμέ, καὶ τὸ ῥυπτοσπαί.
ἀποδρὰς γὰρ εἰς τὴν γωνίαν, τυρὸν πολὺν
κατεσικίλιζε, κἀνίπλητ' ἐν τῷ σκότῳ,—

Φιλοπλέων.

νὴ τὸν Δί', ἀλλὰ δῆλός ἐσ'· ἔμοιγέ τοι
τυροῦ κάκιστον ἀρτίως ἐνήρυγεν
ὁ βδελυρὸς οὗτος.

Ξανθίας ὡς κατήγορος.

οὐ μὲ τίθησ' αἰτοῦντί μου.
καί τοι τίς ὑμᾶς εἰσ' ποιεῖν δυνήσεται,
ἢν μή τι κἀμοί τις προβάλλῃ τῷ κυνί;

Φιλοκλέων.

οὐδὲν μετίδωκεν;

Ξανθίας ὡς κατήγορος.

οὐδὲ τῷ κοινῷ γ' ἐμοί.

Φιλοκλέων.

δικμὸς γὰρ ἀνὴρ οὐδὲν ἧττον τῆς φακῆς.

Βδελυκλέων.

πρὸς τῶν θεῶν, μὴ προκαταγίγνωσκ', ὦ πάτερ,
πρὶν ἂν γ' ἀκούσῃς ἀμφοτέρων.

Φιλοκλέων.

ἀλλ', ὦ 'γαθὲ,
τὸ πρᾶγμα φανερόν ἐστιν. αὐτὸ γὰρ βοᾷ.

Ξανθίας ὡς κατήγορος.

μὴ νῦν ἀφῇτέ γ' αὐτόν, ὡς ὅντ' οὐ πολὺ
κυνῶν ἁπάντων ἄνδρα μονοφαγίστατον,
ὅστις περιπλεύσας τὴν θυσίαν ἐν κύκλῳ,

ἀ τῶν πόλεων τὸ σπέρμ' ἐξιδήσομεν.

Φιλοκλέων.

μοὶ δέ γ' οὐκ ἔς' οὐδὲ τὴν ὑδρίαν πλάσαι.

Ξανθίας ὡς κατήγορος.

πρὸς ταῦτα τοῦτον κολάσατ'· οὐ γὰρ ἄν ποτε
ῥέψειν δύναιτ' ἂν μία λόχμη κλίπτα δύο·
ἵνα μὴ κικλάγχω διακινῆς ἄλλως ἐγώ·
ἐὰν δὲ μή, τολοιπὸν οὐ κικλάγξομαι.

Φιλοκλέων.

ἰοὺ, ἰού·
ἵσας κατηγόρεισι τὰς πανουργίας.
κλίπτου τὸ χρῆμα τἀνδρός· οὐ καὶ σοὶ δοκεῖ,
ὦ 'λεκτρυών; νὴ τὸν Δί', ἐπιμύει γέ τοι.
ὁ Θεσμοθέτης. ποῦ 'σθ' οὗτος; ἀμίδα μοι δότω.

Σωσίας ὡς Θεσμοθέτης.

αὐτὸς παθιλοῦ· τοὺς μάρτυρας γὰρ ἐσκαλῶ.
Λάβητι μάρτυρας παρεῖναι, τρυβλίον,
δοίδυκα, τυρόκνησιν, ἰσχάραν, χύτραν,
καὶ τἄλλα τὰ σκεύη τὰ προσκεκαυμένα.
ἀλλ' ἔτι σύ γ' οὐρεῖς, κοὐ καθίζεις;

Φιλοκλέων.

οὐδέπω·
τοῦτον δέ γ' εἶμ' ἐγὼ χεσεῖσθαι τῆμερον.

Βδελυκλέων.

οὐκ ἂν σὺ παύσει χαλεπὸς ὢν καὶ δύσκολος,
καὶ ταῦτα τοῖς φιλοῦσιν, ἀλλ' ὀδὰξ ἔχει;
ἀνάβαιν', ἀπολογοῦ. τί σεσιώπηκας; λέγε.

Φιλοκλέων.

ἀλλ' οὐκ ἔχειν οὗτός γ' ἔοικεν ὅ τι λέγῃ.

Βδελυκλέων.

οὔκ· ἀλλ' ἐκεῖνό μοι δοκεῖ πεπονθέναι,
ὅπερ ποτὲ φεύγων ἔπαθε καὶ Θουκυδίδης.
ἀπόπληκτος ἐξαίφνης ἐγένετο τὰς γνάθους.
πάρεχ' ἐπῳδάν. ἐγὼ γὰρ ἀπολογήσομαι.
Χαλεπὸν μέν, ὦ ἄνδρες, ἐστὶ διαβεβλημένον
ὑπεραποκρίνεσθαι κυνός· λέξω δ' ὅμως.
ἀγαθὸς γάρ ἐστι, καὶ διώκει τοὺς λύκους.

Φιλοκλέων.

κλέπτης μὲν οὖν οὗτός γε καὶ ξυναμότης.

Βδελυκλέων.

μὰ Δί', ἀλλ' ἄριστός ἐστι τῶν νυνὶ κυνῶν,
οἷός τε πολλοῖς προβατίοις ἐφεστάναι.

Φιλοκλέων.

τί οὖν ὄφιλος, τὸν τυρὸν εἰ κατεσθίει;

Βδελυκλέων.

ὅτι σοῦ προμάχεται, καὶ φυλάττει τὴν θύραν,
καὶ τἄλλ' ἄριστός ἐστιν· εἰ δ' ὑφίλετο,

ἐγγυᾶσθι. κἀθαρίζειν γὰρ οὐκ ἐπίσταται.

Φιλοκλέων.

γὼ δ' ἐβουλόμην ἂν οὐδὲ γράμματα,
α μὴ πακουργῶν ἐνίγραφ' ἡμῖν τὸν λόγον.

Βδελυκλέων.

κουσον, ὦ δαίμονι', ἐμοῦ τῶν μαρτύρων.
νάβηθι, τυρόκνησι, καὶ λίξον μίγα.
ὺ γὰρ ταμιεύουσ' ἔτυχις. ἀπόκριναι σαφῶς,
μὴ κατέκνησας τοῖς στρατιώταις ἅλβίς.
ησὶ κατακνῆσαι.

Φιλοκλέων.

νὴ Δῖ' ἀλλὰ ψευδεται.

Βδελυκλέων.

δαιμόνι', ἐλέει παλαιστρουμένους.
ὗτος γὰρ ὁ Λάβης καὶ στραχήλι' ἐσθίει,
αὶ τὰς ἀκάνθας· κοὐδέποτ' ἐν ταυτῷ μένει.
δ' ἕτερος οἷός ἐστιν οἰκουρὸς μόνον.
ὑτοῦ μένων γὰρ, ἅττ' ἂν ἴσῃ τις φέρῃ,
ούτων μισθωτὴ τὸ μέρος· εἰ δὲ μὴ, δάκνει.

Φιλοκλέων.

ἰδοῦ· τί κακὸν ποτ' ἔσθ', ὅτῳ μαλάττεμαι;
κακόν τι περιβαίνει με, κἀνακινίθομαι.

Βδελυκλέων.

', ἀντιβολῶ σ'· εἰκτέρατ' αὐτὸν, ὦ πάτερ.

καὶ μὴ διαφθείρητε. ποῦ τὰ παιδία;
ἀναβαίνετ', ὦ πόνηρα, καὶ κυνζούμενα
αἰτεῖτε, κἀντιβολεῖτε, καὶ δακρύετε.

Φιλοκλέων.

κατάβα, κατάβα, κατάβα, κατάβα.

Βδελυκλέων.

καταβήσομαι.

καίτοι τὸ ΚΑΤΑΒΑ τοῦτο πολλοὺς δὴ πάνυ
ἐξηπάτηκεν. ἀτὰρ ὅμως καταβήσομαι.

Φιλοκλέων.

ἐς κόρακας. ὡς οὐκ ἀγαθόν ἐστι τὸ ῥοφεῖν.
ἐγὼ γὰρ ἀπεδάκρυσα κῦν. γνώμην ἐμὴν,
οὐδ' ἂν ποτέ γ', ἀλλ' ἢ τῆς φακῆς πεπλησμένος.

Βδελυκλέων.

οὔκουν ἀποφεύγει δῆτα;

Φιλοκλέων.

χαλεπὸν εἰδέναι.

Βδελυκλέων.

ἴθ', ὦ πατρίδιον, ἐπὶ τὰ βελτίω τρέπου.
τηνδὶ λαβὼν τὴν ψῆφον, ἐπὶ τὸν ὕφιον
μύσας παράξον, κἀπόλυσον, ὦ πάτερ.

Φιλοκλέων.

οὐ δῆτα· κιθαρίζειν γὰρ οὐκ ἐπίσαμαι.

Βδελυκλέων.

ίρε νυν, σὲ κηδὶ τὴν ταχίστην πειράγω.

Φιλοκλέων.

δ' ἔσθ' ὁ πρότερος;

Βδελυκλέων.

αὗτος.

Φιλοκλέων.

αὕτη 'ντεῦθεν!

Βδελυκλέων.

ἐπτάστηται, κἀπολέλυκεν οὐχ ἑκών.

Φιλοκλέων.

ἰὲ, ἐξεράσω, πῶς γὰρ ἠγωνίσμεθα;

Βδελυκλέων.

ίξιν ἴσιχεν· ἐκπέφευγας, ὦ Λάβης.

γάτερ, πάτερ, τί πέπονθας;

Φιλοκλέων.

οἴμοι· ποῦ 'σθ' ὕδωρ;

Βδελυκλέων.

ταιρ', ἔπαιρε σαυτόν.

Φιλοκλέων.

εἶτ' ἐκεῖνό μου

ντως ἀπέφυγε;

Βδελυκλέων.

νὴ Δί'.

Φιλοκλέων.

σύδὲν εἶμ' ἄρα.

Βδελυκλέων.

μὴ φροντίσῃς, ὦ δαιμόνι', ἀλλ' ἀνίστασο.

Φιλοκλέων.

πῶς οὖν ἐμαυτῷ τοῦτ' ἐγὼ ξυνίσομαι,
φεύγοντ' ἀπολύσας ἄνδρα; τί ταῦτα ποιήσομαι;
ἀλλ', ὦ πολυτίμητοι θεοί, ξύγγνωτέ μοι.
ἄκων γὰρ αὖτ' ἔδρασα; κοὐ τοῦ 'μοῦ τρόπου.

Βδελυκλέων.

καὶ μηδὲν ἀγανάκτει γ'· ἐγὼ γάρ σ', ὦ πάτερ,
θρέψω καλῶς, ἄγων μετ' ἐμαυτοῦ ταυταχοῦ,
ἐπὶ δεῖπνον, εἰς ξυμπόσιον, ἐπὶ θεωρίαν,
ὥσθ' ἡδέως διάξεις σὺ τὸν λοιπὸν χρόνον·
κοὐκ ἐγχανεῖταί σ' ἐξαπατῶν Τπέρβολος·
ἀλλ' εἰσίωμεν.

Φιλοκλέων.

ταῦτα νὴ γ', εἴπερ δοκεῖ.

Χορός.

ἀλλ' ἴτε χαίροντες, ὅποι βούλεσθ',
ὑμεῖς ταχέως· ὦ μειρακύδης δ'
ἀριθμητοί, νῦν μὲν, τὰ μέλλοντ' εὖ λέγεσθαι,
μὴ πάσῃ φαύλως χάσκε, σύλλαβε ἴσθι.
τοῦτο γὰρ σκαιῶν θεατῶν

ἔστι πάσχειν, καὐ πρὸς ὑμᾶς.
Νῦν αὖτε λιφ', προσίχετε τὸν νοῦν, εἴπερ καθαρόν τι φιλεῖτε.
μίμψασθαι γὰρ τοῖσι θεαταῖς ὁ ποιητὴς οὐκ ἐπιθυμεῖ.
ἀδικεῖσθαι γάρ φησιν, πρότερος πόλλ' ἐπαινεὼς οὐ κακοποιηκώς,
τὰ μὲν οὐ φανερῶς, ἀλλ' ἐπικουρῶν κρύβδην ἑτέροισι ποιηταῖς,
μεμαθηκέναι τὴν Εὐρυπλίους μαγειρίαν καὶ διάνοιαν,
εἰς ἀλλοτρίας γαστέρας ἐνδὺς, κωμῳδικὰ πολλὰ χέασθαι.
μετὰ τοῦτο δὲ καὶ φανερῶς ἤδη κινδυνεύων καθ' ἑαυτὸν,
οὐκ ἀλλοτρίων, ἀλλ' οἰκείων Μουσῶν τάμαθ' ἁνιοχήσας.
ἀρθεὶς δὲ μέγας, καὶ σεμνθεὶς, ὡς οὐδεὶς πώποτ' ἐν ὑμῖν,
ὑπ' ἐκτιλίσαι φησὶν ἐπαρθεὶς, εἶθ' ἁγνᾶσαι τὸ φρόνημα,
οὐδὲ παλαίστρας περιπαμάζειν πειρᾶν· εἶθ', εἴ τις ἱμαστὴς,
κωμῳδεῖσθαι παίδιχ' ἑαυτοῦ μισῶν, ἔστιν δὲ πρὸς αὐτὸν,
οὐδενὶ πώποτέ φησι πιθέσθαι, γνώμην σὺν ἔχων ἐπιεικῆ,
ἵνα τὰς Μούσας, αἵσιν χρῆται, μὴ προαγωγὰς ἀποφήνῃ.

οὐδ', ὅτι πρῶτόν γ' ἦρχε διδάσκειν, ἀνθρώπους φάσ
ἐπιθίσθαι·
ἀλλ' Ἡρακλέους ὀργήν τιν' ἔχων, τοῖσι μιγίστοις ἐπι
χειρῶν,
θρασίας ξυτὰς ἰὼθὺς ἀπ' ἀρχῆς αὐτῷ τῷ παρχαρό
δοντι,
οὗ δυνόσασαι μὲν ἀπ' ὀφθαλμῶν Κύννης ἀστῖνες
ἔλαμπον,
ἵσαντὸν δὲ κύκλῳ κιφαλαὶ κολάκων οἰμωξομένων ἑλιχ
μῶντο
περὶ τὴν κιφαλήν· φωνὴν δ' εἶχεν χαράδρας ἔλιθρο
στοπυίας,
φόβης δ' ὀσμήν, λαμίας δ' ὄρχεις ἀπλύτους, πρωκτὸν
δὲ καμήλου.
τοιοῦτον ἰδὼν τέρας, οὐ φησὶν δίσας καταδωροδοκῆσαι
ἀλλ' ὑπὲρ ὑμῶν ἔτι καὶ νυνὶ πολιμεῖ· φησίν τε μιτ'
αὐτοῦ
τοῖς ἡσιάλοις ἐπιχειρῆσαι πέρυσιν, καὶ τοῖς πυριτοῖσιν
οὗ τοὺς πατέρας τ' ἤγχον νύκτωρ, καὶ τοὺς πάππους
ἀπέπνιγον·
καταπλινόμενοί τ' ἐπὶ ταῖς κοίταις, ἐπὶ τοῖσιν ἀπρά
γμοσιν ὑμῶν,
ἐντομοσίας καὶ προσκλήσεις καὶ μαρτυρίας ξυνι
πόλλων,

ὥς' ἀναπηδᾶν δειμαίνοντας πολλοὺς ὡς τὸν Πολί-
μαρχον.
τοιόνδ' εὑρόντες ἁλιξίπαπον, τῆς χώρας τῆσδε πα-
θαρτὴν,
πέρυσιν καταπρεῦδοτι, καινοτάταις σπείρουτ' αὐτὸν
διανοίαις,
ἃς ὑπὸ τῦ μὴ γνῶναι καθαρῶς ὑμεῖς ἐποιήσατ' ἀπαλ-
δεῖς·
καί τοι σπίνδων πόλλ' ἐπὶ πολλοῖς ὄμνυσιν τὸν Διό-
νυσον,
μὴ πώποτ' ἀμείνων' ἴση τούτῳ κωμῳδικὰ μηδὲν'
ἀκοῦσαι.
τοῦτο μὲν οὖν ἔσθ' ὑμῖν αἰσχρὸν, τοῖς μὴ γνοῦσιν
παραχρῆμα·
ὁ δὲ ποιητὴς οὐδὲν χείρων παρὰ τοῖσι σοφοῖς νενόμισαι,
εἰ παραλαύνων τοὺς ἀντιπάλους, τὴν ἐτίνειαν ξυνέ-
στριψεν.

ἀλλὰ τολοιπὸν τῶν ποιητῶν,
ὦ δαιμόνιοι, τοὺς ζητοῦντας
καινόν τι λέγειν, κἀξευρίσκειν,
σίργετε μᾶλλον, καὶ διακεύετε,
καὶ τὰ νοήματα σώζεσθ' αὐτῶν.
ἐσβάλλετε δ' εἰς τὰς κιθαρῳδοὺς
μετὰ τῶν μήλων· κἄν ταῦτα ποιῆθ',

ὑμῖν δ' ἕτους τῶν ἱματίων
ὀζήσει δειξιότητος.

Ἡμίχορος.

Ὦ πάλαι ποτ' ὄντες ἡμεῖς ἄλκιμοι μὲν ἐν χοροῖς,
ἄλκιμοι δ' ἐν μάχαισι,
καὶ κατ' αὐτὸ τοῦτο δὴ μόνον ἄνδρες γε μαχιμώταμοι,
πρίν ποτ' ἦν, πρὶν ταῦτα· νῦν δ'
οἴχεταί γε, κύκνου τι πολιώτεραι δὴ
αἰδ' ἐπανθοῦσιν τρίχες.
ἀλλὰ κἀκ τῶν λειψάνων
δεῖ τῶνδε ῥώμην νεανικὴν ἔχειν. ἐγὼ
τοὐμὸν νομίζω γῆρας εἶναι χρεῖττον, ἢ πολ-
λῶν κινίννους νεανιῶν,
καὶ σχῆμα, κἀνδρωπτίαν.

Χορός.

Εἴ τις ὑμῶν, ὦ θεαταί, τὴν ἐμὴν ἰδὼν φύσιν,
εἶτα θαυμάζει μ' ὁρῶν μέσον διεσφηκωμένον,
ἢ τίς ἐστιν ἡ 'τίνοια τῆσδε τῆς ἐγκεντρίδος,
ῥᾳδίως ἐγὼ διδάξω, κἂν ἄμουσος ἦ τὸ πρίν.
ἐσμὲν ἡμεῖς, οἷς πρόσεστι τοῦτο τοὐρρωπύγιον,
Ἀττικοί, μόνοι δικαίως εὐγενεῖς αὐτόχθονες·
ἀνδρικώτατον γένος, καὶ πλεῖστα τήνδε τὴν πόλιν
ὠφελήσαν ἐν μάχαισιν, ἡνίκ' ἦλθ' ὁ βάρβαρος,
τῷ κατηῷ τύφων ἅπασαν τὴν πόλιν, καὶ πυρκολῶν,

ἓξ ἡλίῳ μενοινῶν πρὸς βίαν τἀνθρήνια.
εὐθὺς γὰρ ἐνδραμόντες ξὺν δορὶ, ξὺν ἀσπίδι,
ἐμαχόμεσθ' αὐτοῖσι, θυμὸν ὀξίνην πιπτωκότες,
τὰς ἀνὴρ παρ' ἄνδρ', ὑπ' ὀργῆς τὴν χιλύνην ἐσθίων·
ὑπὸ δὲ τῶν τοξευμάτων οὐκ ἦν ἰδεῖν τὸν οὐρανόν.
ἀλλ' ὅμως ἀπεωσάμεσθα ξὺν θεοῖς πρὸς ἑσπέρᾳ.
γλαῦξ γὰρ ἡμῶν, πρὶν μάχεσθαι, τὸν στρατὸν διέβλεψε.
εἶτα δ' ἑσπόμεσθα θυννάζοντες εἰς τοὺς θυλάκους·
οἱ δ' ἔφευγον, τὰς γνάθους καὶ τὰς ὀφρῦς πεπτερύμενοι·
ὥστε παρὰ τοῖς βαρβάροισι πανταχοῦ καὶ νῦν ἔτι
μηδὲν Ἀττικοῦ καλεῖσθαι σφηκὸς ἀνδρικώτερον.

Ἡμίχορος.

Ἆρα δεινὸς ἦ τόθ', ὥστε πάντα μὴ δεδοικέναι·
καὶ κατεστρεψάμην γε
τοὺς ἐναντίους, πλέων ἐκεῖσε ταῖς τριήρεσιν.
οὐ γὰρ ἦν ἡμῖν ὅπως
ῥᾴσιν οὐ λίξιν ἐμέλλομεν τότ', οὐδὲ
συκοφαντήσειν τινὰ
φρονοῦς· ἀλλ' ὃς ἂν ἱρίτης
ἦσθ' ἄριστος. τοιγαροῦν πολλὰς πόλεις
Μήδων ἑλόντες, αἰτιώτατοι φέρεσθαι
τὸν φόρον δεῦρ' ἐμοὶ, ὃν
πλέκτουσιν αἱ πεύτιαι.

Χορός.

Πολλαχοῦ σκοπεῦντες ἡμᾶς, εἰς ἅπανθ' εὑρήσετε
τοὺς τρόπους καὶ τὴν δίαιταν σφῆξιν ἀμφιεσμένους.
πρῶτα μὲν γὰρ οὐδὲν ἡμῶν ζῶον ἠθισμένον
μᾶλλον ἐξύβρικόν ἐστιν, οὐδὲ δυσκολώτερον·
εἶτα τἄλλ' ὅμοια πάντα σφῆξι μηχανώμεθα.
ξυλλιγίντες γὰρ καθ' ἑσμοὺς, ὥσπερεὶ τἀνθρήνια,
οἱ μὲν ἡμῶν, οὗπερ ἦρχον, οἱ δὲ παρὰ τοὺς Ἔνδεκα,
οἱ δ' ἐν Ὠδείῳ δικάζουσ'· οἱ δὲ πρὸς τοῖς τειχίοις
ξυμβεβυσμένοι, πυκνὸν νεύοντες εἰς τὴν γῆν, μόλις,
ὥσπερ οἱ σκώληκες, ἐν τοῖς κυττάροις κινούμενοι.
ἴς τι τὴν ἄλλην δίαιταν ἡμὶν εὐπορώτατοι.
πάντα γὰρ κεντοῦμεν ἄνδρα, κἀπορίζομεν βίον.
ἀλλὰ γὰρ κηφῆνες ἡμῖν εἰσὶν ἐγκαθήμενοι,
οὐκ ἔχοντες κέντρον· οἳ μένοντες ἡμῶν τοῦ φόρου
τὸν γόνον κατεσθίουσιν, οὐ ταλαιπωρούμενοι.
τοῦτο δ' ἴς' ἄλγιστον ἡμῖν, ἤν τις ἀστράτευτος ὢν
ἐπφορῇ τὸν μισθὸν ἡμῶν, τῆσδε τῆς χώρας ὑπὲρ
μήτε κώπην, μήτε λόγχην, μήτε φλύκταιναν λαβών.
ἀλλ' ἡμοὶ δοκεῖ τελοιπὸν τῶν πολιτῶν ἅμβρακυ
ὅστις ἂν μὴ ᾖ τὸ κέντρον, μὴ φέρειν τριώβολον.

ΦΙΛΟΚΛΕΩΝ, ΒΔΕΛΥΚΛΕΩΝ, ΧΟΡΟΣ.

Φιλοκλέων.

Οὔ τοι ποτὲ ζῶν τοῦτον ἀποδυθήσομαι,
ἐπεὶ μόνος μ' ἔσωσε παρατεταγμένον,
ὅθ' ὁ Βορέας ὁ μέγας ἐπεστράτευσατο.

Βδελυκλέων.

ἀγαθὸν ἔοικας οὐδὲν ἐπιθυμεῖν παθεῖν.

Φιλοκλέων.

μὰ τὸν Δί', οὐ γὰρ εὐδαιμόνως μοι ξύμφορον.
καὶ γὰρ πρότερον ἐπανθρακίδων ἐμπλήμενος
ἀπέδωκ' ὀφείλων τῷ γναφεῖ τριώβολον.

Βδελυκλέων.

ἀλλ' οὖν πιπτιεάσθω γ', ἐπειδήπερ γ' ἅπαξ
ἐμοὶ σεαυτὸν παραδίδωκας εἰς ποιεῖν.

Φιλοκλέων.

τί οὖν κελεύεις δρᾶν με;

Βδελυκλέων.

τὸν τρίβων' ἄφες·
τηνδὶ δὲ χλαῖναν ἀναβαλοῦ τριβωνικῶς.

Φιλοκλέων.

ἔπειτα παῖδας χρὴ φυτεύειν καὶ τρέφειν,
ὅθ' οὑτοσί με νῦν ἀποπνίξαι βούλεται;

Βδελυκλέων.

ἴχ', ἀναβαλοῦ ταχὺ λαβών, καὶ μὴ λάλει.

Φιλοκλέων.

τουτὶ τὸ πρᾶγμα τί ἐστι, πρὸς πάντων θεῶν;

Βδελυκλέων.

οἱ μὲν παλοῦσι Πειρεῖ· οἱ δὲ πανσάκην.

Φιλοκλέων.

ἐγὼ δὲ σισύραν φήμην Θυμοιτίδα.

Βδελυκλέων.

οὐ θαῦμά γ'· ἐς Σάρδεις γὰρ οὐκ ἐλήλυθας.
ἔγνως γὰρ ἄν· νῦν δ' οὐχὶ γιγνώσκεις.

Φιλοκλέων.

ἐγώ;
μὰ τὸν Δί' οὐ τοίνυν· ἀτὰρ δοκεῖ γ' ἐμοὶ
ἱππέως μάλιστα Μορύχου σάγματι.

Βδελυκλέων.

οὔκ· ἀλλ' ἐν Ἐκβατάνοισι ταῦθ' ὑφαίνεται.

Φιλοκλέων.

ἐν Ἐκβατάνοισι γίγνεται πρέσβις χόλιξ;

Βδελυκλέων.

πόθεν, ὦ 'γάθ'; ἀλλὰ τοῦτο ταῖσι βαρβάροις
ὑφαίνεται πολλαῖς δαπάναις. αὕτη γέ του
ἱρίων τάλαντον κατατίλτουσι ῥᾳδίως.

Φιλοκλέων.

οὐκοῦν ἱμιάλην δῆτ' ἐχρῆν ταύτην καλεῖν
δικαιότερόν γ', ἢ κἀκυνάκην.

Βδελυκλέων.

ἴχ', ὦ 'γαθέ,
καὶ σῆθί γ' ἁμπισχόμενος.

Φιλοκλέων.

οἴμοι δείλαιος·
ὡς θερμὸν ἡ μιαρά τι μου κατήρυγεν.

Βδελυκλέων.

οὐκ ἀναβαλεῖ;

Φιλοκλέων.

μὰ Δί' οὐκ ἔγωγ'. ἀλλ', ὦ 'γαθέ,
εἴπερ γ' ἀνάγκη, χρίσαι μ' ἀμπίσχισον.

Βδελυκλέων.

φέρε', ἀλλ' ἐγώ σε περιβαλῶ· σὺ δ' οὖν ἴθι.

Φιλοκλέων.

κατάθου γε μέντοι καὶ χρεάγραν.

Βδελυκλέων.

τιὴ, τί δή;

Φιλοκλέων.

ἵν' ἐξίλῃς με, πρὶν διῤῥυηκέναι.

Βδελυκλέων.

ἄγε νῦν, ἀπόδυου τὰς κατηρεφεῖς ἰμάδας,

ταυδὶ δ' ἀνύσας ὑπόδυθι τὰς Λακωνικάς.

Φιλοκλέων.

ἰγὼ γὰρ ἂν τλαίην ὑποδύσασθαί ποτε
ἰχθρῶν παρ' ἀνδρῶν δυσμενῆ καττύματα;

Βδελυκλέων.

ἔνθις πόδ', ὦ 'τὰν, κἄστα βαῖν' ἐρρωμένως,
ἐς τὴν Λακωνικὴν ἀνύσας.

Φιλοκλέων.

ἀδικεῖς γ' ἐμὲ,
ἐς τὴν πολιμίαν ἀποβιβάζων τὸν πόδα.

Βδελυκλέων.

φέρε καὶ τὸν ἕτερον.

Φιλοκλέων.

μηδαμῶς τοῦτόν γ', ἐπεὶ
πάνυ μισολάκων αὐτοῦ 'στιν εἷς τῶν δακτύλων.

Βδελυκλέων.

οὐκ ἴσι παρὰ ταῦτ' ἄλλα.

Φιλοκλέων.

κακοδαίμων ἰγὼ,
ὅστις ἐπὶ γήρᾳ χίμιστλον οὐδὲν λήψομαι.

Βδελυκλέων.

ἄνυσόν ποθ' ὑποδυσάμενος· εἶτα πλουσίως
αὖδὶ προβὰς, τρυφερόν τι διαλακωνίσον.

Φιλοκλέων.

ἰδού. θιῶ τὸ σχῆμα, καὶ σκέψαι μ', ὅτῳ

μάλις' ἔοικα τὴν βάδισιν τῶν πλουσίων.

Βδελυκλέων.

τῳ; δοθιῆνι σκόροδον ἠμφισμένῳ.

Φιλοκλέων.

καὶ μὴν προθυμοῦμαί γε σαυλοπρωκτιᾶν.

Βδελυκλέων.

γε νυν, ἱστήσει λόγους σεμνοὺς λέγειν,
ὑδρῶν παρόντων πολυμαθῶν καὶ δεξιῶν;

Φιλοκλέων.

γωγε.

Βδελυκλέων.

τίνας δῆτ' ἂν λέγοις;

Φιλοκλέων.

πολλοὺς πάνυ.

πρῶτον μὲν, ὡς ἡ Λαμί' ἀλοῦσ' ἐπέρδετο·
πιστα δ', ὡς ὁ Καρδοπίων τὴν μητέρα—

Βδελυκλέων.

μὴ "μοιγε μύθους. ἀλλὰ τῶν ἀνθρωπίνων,
ἵους λέγομεν μάλιστα τοὺς κατ' οἰκίαν.

Φιλοκλέων.

γῷδα τοίνυν τῶν γε πάνυ κατ' οἰκίαν
κεῖνον, ὡς οὕτω ποτ' ἦν μῦς καὶ γαλῆ—

Βδελυκλέων.

ΣΚΑΙΕ, ΚΑΠΑΙΔΕΤΤΕ, Θεογένης ἔφη